εὖχος ἀνακτορίης, καὶ ἐν βιβλίοισι χαράξω,
ὄφρα καὶ ὀψιγόνοισι μετέσσεται οὐδὲ θανεῖται
καὶ θεὸν ὥς σε τίσωσι μετήλυδες Ἄρεος υἱοί·
πάντα δέ τοι κατὰ μοῖραν ἐριφραδέως ἀγορεύσω,
ὡς μὲν ἀπ' εὐκτιμένοιο μεγαστεγέος μελάθροιο
ἀντολίηνδ' ἐπόρουσας, ἐναντιβίους κακὰ ῥέξων,
ἐς μόθον ἐγρεκύδοιμον ἐπάλμενος, ἀμφὶ δὲ λαοὶ
χαλκοχίτωνες ἔβαν, θοῦρον πνείοντες ἄρηα,
ὡς δέ τευ ἄλγος ἄλαστον ἀπήμβλυνε φαίδιμον ὁρμήν,
πότμος ἐῆς ἀλόχοιο, μέγ' εὐσεβέος βασιλίσσης,
ὡς δέ τέ μιν παλίνορσος 〈ἔβης〉 ἀνὰ ἄστυ κομίζων,
οἷος σὺν τεκέεσσι, λεὼς δ' ὑπέμιμνεν ἀπείρων
οἷσιν ὑφ' ἡγεμόνεσσι διακριδὸν ἄλλοι ἀπ' ἄλλων. fol. 124
αὐτὰρ ἐπεὶ πένθησας, ὅσ' ἄλοχον ἐσθλὸς ἀκοίτης,
καὶ κτέρεα κτερέϊξας, ἅπερ μεδέουσιν ἔοικε,

---

1) Dies letztere weiß auch Prodromos an der Schwiegertochter des Bryennios zu loben (vgl. unten 2, 153).

Codex Vaticanus gr. 305 fol. 123ᵛ—126ᵛ (Nach Papadimitriu von V. 106 an auch im Paris. 2831 fol. 149) Lemma: τοῦ αὐτοῦ

θούριδος αὖτε μάχης καὶ ὀκρυόεντος ἰωκῆς
μνήσαο οὐδ' ἀνίη σε μένους παρέλυσε καὶ ἀλκῆς·
κόσμον γὰρ σφετέρης ζωῆς ἐπίπροσθεν ἔθηκας·
τούνεκ' ἀνὰ στρατιὴν μεγαλήτορα Αὐσονιήων
λεξάμενος μετὰ Πέρσας ὅλους χαλάσαο χαλινοὺς
καὶ Γάγγρης πτολίεθρον ἔβης ἐλέειν μενεαίνων,
τοῦ μέντ' ἀγὸς ὄλωλε, πρὸ δ' ἠελίου λίπεν αὐγάς,
ἀλλὰ καὶ ὣς οἱ ἄνασσε δάμαρ φθιμένοιο ἀγοῖο,
βαρβαρίδων βασίλεια, ἅμ' υἱέσι καὶ θυγάτρεσσιν.
ἔνθ' ὡς οὖν ἐπέλασσας, ἐμήσαο τήνδε προβουλήν,
κρινάμενος στρατιῆθεν ἐρίφρονας ἄνδρας ἀρίστους
πεμπέμεν ἐς πολίαρχον ὑπερμενέα κρατερήν τε,
μῦθον ἀπαγγελέοντας, ὃν ἐν φρεσὶν ἦσιν ὑφήνω,
ἠὲ πόλιν δόμεναι πετάσασαν ἐκ πυλεῶνας
ἠὲ μένος κρατερὸν δαΐμεναι αὔσονος αἰχμῆς.
οἱ μὲν ἄρ' ὡς ἀπέβαν σαφήτορες ἄνδρες ὁμοκλῆς,
ἐκ δ' ἔπος ἀγγέλεσκον ἀηττήτου βασιλῆος·
ἥ δ' ἀΐουσα γέλαζε καὶ εὐχομένη φάτο μῦθον·
«Μή με δέδιττε, ἄναξ, καὶ θηλυτέρην περ ἐοῦσαν,
οὐ μὲν ἐγὼ μετὰ χερσὶν ἑκοῦσά τοι ἄστυ ὀπάσσω,
χάρμην δ' αἴ κε θέλῃσθα, ἰδ' ἔρχεο, ὄφρα δαείης,
ὡς καὶ θηλυτέρῃσιν ἔοι μένος ἄρσενος ἀλκῆς·
οὗτοι ἄοπλος ἐγὼ καὶ ἀσύμμαχος ἀντιασαίμην,
ἀλλά μοι ἔνδον ἔασι καὶ ἀνέρες ἀσπιδιῶται
καὶ φαρέτραι τε λόφοι τε καὶ ἔντονα καμπύλα τόξα
καί τε πρὸ τῶν λοφιὴ δυσάμβατος, ἧς ὑπὲρ ἄστυ
ἵδρυται ἠλιβάτοιο, πετρηβόλα τ' ὄργαν' ὕπερθεν.»
ὣς ἔφατ' εὐχομένη, κούρην δ' ὑλάασκεν ἄνασσαν,
παρθένον ἀγνοτόκειαν, ὁμοστράτηγον ἄνακτος,
λυσσήτειρα κύων, ὀλοούς δ' ὑποτέτριγ' ὀδόντας·
ἃ σχετλίη, κακόφημα δ' ἀφύβρεεν οὐδ' ὑποτάρβει,
μή μιν ὕπερθε βάλῃσι κεραυνοφόροισι βολῇσιν·
ἀλλὰ μὲν αἴσχρ' ἀγόρευε καὶ ἔκνομα Περσὶς ἀγήνωρ,
βαρβαρὶς ἀγριόθυμος· ἀτὰρ σύ γε οὔτι χολάνθης,
κούρη παρθενόμητερ, ἑὸν δε μιμήσαο παῖδα·
ἦ γὰρ ἂν εὐθὺς ὄλωλε καί οἱ σχεδὸν ἥντετο πότμος·
ἀλλὰ τεὸν βασιλῆα μεθ' ἄτερον ἔτραπες ἄστυ
Κασταμόνος μεγάλης, τὸ ῥὰ καὶ πάρος ἔλλαβεν ἄναξ,

---

21 *τοὔνεκα* 26 *θυγάτρησιν* 41 *ἔασσι* 49 *βάλλησι* 53 *ἦ γὰρ* 55 es folgt der hier versehentlich geschriebene, durch Punkte wieder getilgte V. 62

ἀλλὰ καὶ αὖ παλίνορσον ἔβη μετὰ κλέπτορα Πέρσην·
τούνεκά μιν Γάγγρηθεν ἄγες διὰ νύκτα βαθεῖαν
Κασταμόνος μετὰ ἄστυ καί οἱ πελάσαντα κέλευσας
ὄργανα ῥηξιθέμεθλα πετρορριφέα πτολίπορθα
ἀμφιπεριστήσειν μεγάλην πόλιν εὐρυάγυιαν.
οὐδέ σοι οὐδ' ἀπίθησε μέγας χαριτώνυμος ἄναξ,
χωστρίδα δ' ἀμφέστησεν ὀρυκτίδα τ' ἠδὲ χελώνην,
μήχεα ὠλεσίτειχα, χαλαζοβόλει δέ τε πέτρους.
τρίτατον ἦμαρ ἔγεντο καὶ ἔκλυτο γούνατα Πέρσης,
λάεσι σιδαρέοις καὶ λαϊνέοις σιδάροισι
βλήμενος ἔνθα καὶ ἔνθα· τέλος δ' ἀναοίγνυσιν ἄστυ
καὶ πρὸ μέγιστον ἄνακτα καλίζετο, χεῖρας ἀείρων,
ἂς πάρος ἐν βελέεσσιν ἀείρετο καὶ λιθάκεσσιν.
οὐδὲ λιτῆς παράκουσεν ἄναξ ἀπ' ἄνακτος ἀτειρής,
ἀλλ' ἅμα μέν σφι βίοιο χαρίσσατο δεύτερα κύκλα fol. 124v
καί θ' ἅμα Κασταμόνος μετὰ δεύτερον ἔλλαβε κάρτος.
ὣς Κασταμονίταο διπλῆν λάβες ἄστεος ἀρχήν,
κοίρανε Ἀλεξιάδη, καὶ ὥς σ' ὑποέτρεσε Πέρσης.
καί ῥ' ἀναχασσάμενος λέσχην μετεμήσαο Γάγγρης
οὐδ' ἔτλης καὶ ἔμεινας ὕβριν πολιούχου ἀνάσσης,
παρθενικῆς Μαρίης, λαοῦ δ' ἀνὰ γούνατα παύσας
ὄργανά τ' ἐκτελέσας ἀπείρονα πληξιμέλαθρα,
αὖτ' ἐπὶ Γάγγραν ὄρουσας ὑβρίστορα ἀγνοτοκείης
σύν τ' ὀλίγοις ἀνέρεσσιν, ὅσους φέρεν ἵππος ἀγήνωρ,
τοὺς δὲ λίπες μετόπισθε δυσιππέας οἶμον ὀδεύειν.
αὐτὰρ ἐπεὶ πέλασας, τείχη δ' ἀνὰ ἄστεος εἶδες,
σημαίας πρό ῥ' ἔφηνας, ὄφρ' ἐμφανέως πολεμίξῃς
μηδέ σε κλεψιμάχην Πέρσης δολόεις ὀνομήνῃ.
καὶ τοὶ μὲν πρὸ πόληος ἔσαν, δάμεν ᾗ ἐνὶ δουρί,
οἳ δ' ἐπὶ φύξιν ὄρουον ἀελλόπον, ἀλλὰ καὶ ἔμπης
οὔτι φύγον παλάμην κρατεραλκέα ῥωμαΐην.
ὡς δ' ὁπόταν δασύπους διά τ' ἄγκεα καὶ δρυμὰ θεύῃ,
κύνας ὑπειδόμενος καὶ ἀνέρα ἵστορα θήρης,
καί ῥ' ὁ μὲν ἐκπροθέῃσιν ἐλαφροτέροισι πόδεσσιν
ἐν πεδίοις καὶ ὄρεσσι, φόβος δέ οἱ ἄλκαρ ἐγείρει,
θηρητὴρ δέ τ' ὄπισθε μετ' ἴχνια καὶ κύνες ἀργοὶ
ἀμφυλάοντες ἔπονται, ὀρῶντι δὲ χάρμα τέτυκται,
ἀλλὰ καὶ ὣς δασύπουν κεκαφηότα κύνες ἕλοντο,

---

59 ῥηξίμεθλα 66 ἀναώγνυσιν 72 χάριν, darüber ἀρχὴν 73 περσὴς (also viell. Περσὶς scil. γῆ) 87 διά τ' ἔντεα

ὣς ἄρα καὶ φυγάδας Πέρσας ἕλον Αὔσονες υἱοί·
αὐτὰρ ἔπειτα πόλινδε μετέσσυσο ὑψικάρηνον,
ἣν πρὸ μὲν ἠέλιος βλέψεν μέγας ἀντολίηθεν,
λοῖσθα δύων δε λέλοιπε, τοσατίη εὖχεται εἶναι,
πτήσιος ἠερίης ὑπερήορος ἠδὲ βελέμνου,
Γάγγραν δέ σφ' ὀνόμηνε μῦθος πολιῶν λυκαβάντων·
ἀνδρὶ γὰρ αἰπολέοντι μυθίζεται αἶγα γεγάμεν,
αἰπολίου βασίλειαν, Ἀμαλθίδος ἔκγονον αἰγός,
τὴν Γάγγρην καλέεσκεν, ἀτὰρ τέρας ἦεν ἀκοῦσαι·
φύγγανε μὲν διφόωντα τὸν αἰπόλον οὐδ' ἐσορᾶτο,
φαίνετο δ' οὐ διφόωντι καὶ ἀμφαδὰ φέρβετο ποίην·
δεύτερον ἦμαρ ἔβη καὶ ἐξ ἀγέλης φύγε Γάγγρη·
ἄχνυτο δ' αἰπολέων, φίλην δὲ καλαύροπ' ἀείρας
κίδνατ' ἐνὶ σκοπέλοισι καὶ οὔρεσι, δίζετο δ' αἶγα,
ᾄσμασιν ἀγκαλέων τὴν φυγάδα, ἦχεε δ' ἄλσος
ἠχῇ θεσπεσίῃ, περὶ δ' αἰπόλος ἀμφὶς ἑώρα
τέρμα καὶ ἐς λοφιὴν μεγαλαύχενα βῆ κεκαφηώς,
καί μιν ἐκεῖ δεδάηκε νεηγενέεσσι τόκοισι
θηλὴν γλαγογένεθλον ἐνὶ στομάτεσφι φοροῦσαν·
καί θ' ἅμα μὲν γήθησεν, ὁμοῦ δ' ὀρόων θηεῖτο·
καί τ' αὐτοῦ δεδόμηκε πόλιν ὁμοώνυμον αἰγός,
τῆμος ἀφαυροτάτην, μετὰ δ' εὐκτιμένην γεγαυῖαν.
ὣς ὁ γέρων τόδε ἄστυ μυθήσατο, δέσποτα, μῦθος
ὕψιον ὑψικόρυμβον ὑπερνεφὲς ἠερόθι πρό.
οὐδὲ τόσον περ ἐὸν τόδ' ἄρ' ἐπτήξω πτολίεθρον,
βήσαο δ' ὥστε λέων κρατεραλκὴς καὶ στίχες ἀδραὶ
ἀνδρῶν ὁπλιτάων περί τ' ἀμφί τε πάντοθεν ἔσταν·
ὄργανά τ' ἔνθα καὶ ἔνθα πετρηβόλα, θαῦμα ἰδέσθαι,
πολλὰ μάλ' ὥστε ⟨τι⟩ τεῖχος ἐφέστασαν ἔκτοθεν ἄλλο.
καὶ τότε δὴ πολέμοιο γένυς χάνεν ὠγυγίη περ
δεινὴ φθισιάνειρα καὶ ᾤγνυτο χείλεα χάρμης, fol. 125
αἵματος ἀνδρομέοιο ἐελδομένης κορέσασθαι.
ἰὰ μὲν ἔκ τε πόληος ἐπὶ στρατὸν εὐρὺν ἄνακτος,
αὔσονος ἔκ τε φάλαγγος ἐπὶ πτόλιν εἵατο πυκνά.
οὐδὲ τόσῃσι ῥάγεσσι καλὴ βέβριθεν ἀλωὴ
τρύγῃ ἐνὶ γλυκερῇ, ὁπότ' ἔκθυμα γάννυται ἀνήρ,
οἰνοχαρὴς τελέταρχος ὀλεσσιγόου Διονύσου·
οὐδὲ τόσην βορέης ἀπὸ δένδρων φυλλάδα βάλλει

95 πόλιν δὲ 99 doch wohl μύθος, vgl. 141 λάες 108 τὰν φυγάδα 113 θειεῦτο 114 ὁμοούννυμον 115 ἀφρανοτάτην 127 εἵατο, vgl. 274, etwa εἵσατο?

ὥρῃ ἐνὶ τριτάτῃ καὶ ὀπωράων ὀλετείρῃ.
ὣς δ' ὁπότ' ἀρτοπόνος δμωὴ πρὸ μὲν ἄλεε σῖτον,
μύλῃ ὑπ' ἀμβροσίῃ φορβὴν κυρίοισι πονοῦσα,
αὐτὰρ ἔπειτ' ἄχραντον ἐνὶ χθονὶ βάλετο πέπλον,
ἦρε δ' ὑποκλινθεῖσα· καὶ αἰροπίνοιο μετ' ἀγκὰς
λάζετ' ἀλευροδόκου· ταί δ' ἐξ ὀπάων ἀδινάων
νιφάδες ἀλφιτόεσσαι ὑπὲρ ταναοῖο πέπλοιο
χεύοντ' ἄλλη ἐπ' ἄλλῃ ἀπείρονες· ὣς ἀπὸ τόξων
Περσῶν τ' Αὐσονίων τε βέλη ποτόωντο θαμειά·
σὺν δὲ λάες βελέεσσι βεβλήατο ἔνθα καὶ ἔνθα,
πολλέες, οὔτι τόσους μυθήσεαι οὐδ' ὀνομήνῃς,
οὐδ' εἴ τοι δέκ' ἔασι μετρήτορες ἔνδοθι γλῶσσαι.
πάλλετο νέρθε δ' ἄρα καὶ ὑψόθεν ἤχεεν αἰθὴρ
λαῶν βαλλομένων, χαῖρεν δ' ὀλεσίμβροτος Ἄρης.
καὶ τότε δὴ πτολίπορθος ἀφ' ἱππόθεν ἅλτο βασιλεὺς
γαῖαν ἐπὶ στερεήν, ἄνδρας δ' ἐλέηρ' ἐνὶ θυμῷ,
παρθενικὴν Μαρίην δὲ λιτάζετο δάκρυα χεύων·
ἄνσχετο μὲν παλάμην, κρατεραλκέα ἄνσχετο δ' ἦτορ
ἐς πόλον ἀστερόεντα καὶ εὐχόμενος φάτο μῦθον·
« Κούρη παμβασίλεια, θεοῦ γενέτειρα καθαρή,
ναὶ μὲν ἐγὼ μυρίοισι τεοῖς ὑποβέβριθα δώροις·
ἔκ τέ με γὰρ βρεφέων ἀνελάζεο, ἐν δὲ κόμισσας
καί τε νόον κάρητι, βίην δε χέρεσσιν ὄπασσας·
καί με κάθισσας ἔπειτα πατρώιον ἀμφὶ θόωκον
χρύσεον, ἐν παλάμῃ δὲ κράτος πόρες Αὐσονιήων·
καί μοι ἔπειτα πόδεσσιν ὑπ' ἔθνεα βάρβαρα κάμψας,
ὅσσα θ' ἕως τε δύσις τε, θάλασσά τε καί τ' ἐπὶ βορρῆς
θρέψατο τετραμόροιο πολύσπορα ἔκγονα κόσμου,
αὐχένα Σωζοπόληος ἐμοῖς ὑπεκλίναο ταρσοῖς,
Σκυθίδα μυριόγλωσσον ἐμῷ ὑπεδμήσαο δουρί,
ὕδρην πουλυκάρηνον ἐπ' ἠελίοισι νεοχμοῖς·
Λαοδίκειαν ἔπειτα πόλιν πόρες ἐξαλαπάξαι
καὶ Δάκας αὖτ' ἐπὶ τοῖσι παρίστριά τ' ἔθνεα πάντα
δμωοὺς ὑδροφόρους πιστοῖς παρέδου πολιήταις.
Κασταμόνα πρὶν ἔδωκας ὑπ' Αὐσονίων παλάμῃσι
καὶ πάλιν αὖ πολὺ κρέσσον ὀπάσσεο ἠὲ πάρος περ.
ὣς καὶ ἐς αὖτις, ἄνασσα μεγακρατὲς ὀλβιόμητερ,
κλῦθι τ' ἐμῶν ἀράων καὶ ἵλαθι, σῶε δὲ λαὸν
αὔσονα, δός δε πόλιν πιστῶν ὑπὸ χείρεσι Γάγγρην,

---

145 χαῖρε 162 πολυκάρηνον 165 παρεδίδου

γλώσσης τινυμένη ὑβριστορος ἄγριον αὐδήν,
ὄφρα τεῆς παλάμης πευθοίατο ἔθνεα ῥώμην.»
ὣς φάτ', ἀρῆς δ' ἀφύπερθε μεγάθρονος ἔκλυε κούρη.
αὐτὰρ ὅ γ' ἀρούρηθεν ἄναξ μεταλάζετο λᾶαν
τρηχέα βριθόσυνον, γαίης βροτομήτορος ἄχθος,
σφενδονόεντι δ' ἔθηκ' ἐνὶ μήχεϊ ὠλεσιτείχῳ,
κέκλετο δ' εὐθυβολεῖν λιθοπάλμονας ἄνδρας ἀγαυούς·
τοί δ' ἀΰσαντες ἔβαλον, ὅ δ' ἔκθορεν ἠχέτα πέτρος fol. 125ᵛ
ῥοίζῳ ὑπὸ ζαθέῳ καὶ ἐς μέσον ἔμπεσεν ἄστυ·
καὶ μὲν δῶ νεότευκτον ἐπ' οὐδεϊ βάλεν ἐρείψας,
σὺν δὲ γυναῖκας ἔπεφνε καὶ ἀνέρας ἐνναετῆρας·
εὖθυνε γάρ μιν ἄνασσα λαοσσόος αὐσονιοῦχος
ἠέρα ἐσσαμένη, περὶ δ' ὄμμασιν ὄρφναν ἔχευε.
τῷ δ' ἐπὶ λᾶες ἔπιπτον ἀπείρονες ἄλλοι ἐπ' ἄλλοις
βλήμενοι ὥστε χάλαζα μετ' ἄστυδε, πίπτε δὲ λαός.
ἔνθ' ἄρα Περσὶς ὕφηνεν ἀτάσθαλον αὐτίκα μῆτιν
βυσσιδίην· ἀνέρας γὰρ ἐναιρομένους ἐσορᾶτο.
τούνεκα δακρυχέουσα θρασὺν μετακέκλετο Πέρσην,
στῆ δ' ἰθύς, ἐν δ' ὀνόμηνε καὶ εὐφραδὲς ἔξ ἔπος ηὔδα·
«Ξεῖν', ὁράᾳς τάδε ἔργα καὶ οὔτι τοι ἄλλος ἐνίσπῃ,
ὅσσα πόλιν κάκ' ἔρεξεν ἄναξ μέγας ἠδ' ἔτι ῥέζει·
τείχεα μὲν κέκμηκε προβλήμασι πετροβόλοισι
βαλλόμεν', ἐκ δ' ἀνέρες τοὶ μὲν δάμεν οἱ δὲ καμόντες
ὄμμασιν οἷσιν ἕκαστος ἑὸν περιδέρκετ' ὄλεθρον,
Αὔσων δ' οὐκέτι κάμεν ὑπέρθυμος ὅπλα τινάσσων,
ἀλλ' ἄτος ἵστατ' ἄρηος ἀκαμάτοις ὑπὸ νεύροις·
ἦ ῥά οἱ ἐκ σιδάροιο φύσις χαλκεύσατο γῦα
ἠὲ δέμας λάξευσεν ἀπὸ στερεοῖο πέτροιο.
ἀλλ' ἄγέ μοι πρόφρων ἐπιπείθεο, σῶε δὲ πάτρην,
σῶε πάτρην καὶ λαόν, ὁμῶς δ' ἀπὸ λοιγὸν ἄμυνον·
σπάθην μέντοι ἔγωγε νεηκέα χερσὶν ὀπάσσω,
ἰῷ βαψαμένη δηλήμονι, τήν δ' ὑπὸ μηρὸν
κρύψεαι, αὐτὰρ ἄνω διὰ τείχεος ὑψικορύμβου
σχοίνῳ ἐνὶ πλοκερῇ καταΐξεαι, ἄγχι δ' ἄνακτος
στήσεαι ὥσθ' ἱκέτης ⟨πυκνὸν⟩ κατὰ δάκρυον εἴβων,
λισσόμενος πρὸ πάτρης, σπάθην δ' ἀπὸ μηροῦ ἐρύσεις
λαθριδίην, πλήξεις δ' ὑπερήνορα κοίρανον ἀνδρῶν·
οὐδ' ὅ γε θνητὸς ἐὼν ἰὸν προφύγῃσιν ἀτειρής,

---

174 λάαν, aber vgl. 184 183 ὄφναν 189 viell. ἐκ δ' ὀν., vgl. 230
190 ἐνείσπῃ 191 ὅσα 196 ἀκαμάντοις 197 ἦ ῥά

ἀλλὰ δαμεὶς κακότητος ἔθνεσσι γένοιτ' ἀλεωρή·
καὶ σὲ μὲν ἂρ κτενέουσι διασπαδὸν οὐδ' ὑπαλύξεις,
ἀλλά τοι οὔνομ' ἄληκτον ἐν ὀψιγόνοισι μετείη
καὶ Θεὸς ὡς Πέρσῃσι τετίσεαι ἄφθιτος αἰὲν
σωσίπατρίς τ' ἐσέπειτα κεκλήσεαι οὐχ ὑπὲρ αἶσαν·
σήν δ' ἄλοχόν τε φίλην καὶ νήπια τέκνα καὶ οἶκον
πλήσω μὲν κτεάνων, πλήσω δὲ κύδους μεγαδόξου.»
ὣς φάτο, πῦρ δ' ἀΐδηλον ὁμόσσατο Περσὶς ἀγήνωρ.
αὐτὰρ ὃ — ἐκ στέρνων γὰρ ἔβαν φρένες ἀμφιμέλαιναι —
σύνθετό τ' ἀφραδέων καὶ ὑπέστη πάντα τελέσσειν,
ἐλπωρῇ θεότητος ἁλοὺς νόον· ὦρτο δ' ἐπ' ἔργον,
δύσθεος, οὐδὲ νόησε παρὰ σχεδὸν οἷτον ἐόντα·
ἀλλὰ πικρήν τε μάχαιραν ἐνάψατο ᾧ ἐνὶ μηρῷ,
ἐκ δὲ πλόκαμον ἔκερσε, κόνιν δ' ἐπέχευε κάρητι,
κεῦθε δ' ἐνὶ πραπίδεσσι, τὰ μὴ τελέεσθαι ἔμελλεν.
ὣς γάρ μιν φρονέοντ' ἐχεπευκὴς οὔτασ' ὀϊστὸς
πτάμενος, ἐκ δέ οἱ ἦτορ ἀπὸ στέρνων βάλεν εὐθύς.
χὠ μὲν ἔβη μετὰ νύκτα ἑῷ κακὸν ἤπατι τεύξας,
ἣ δ' ἀφ' ὕπερθ' ὁρόωσα τάδ' ἔκτοπα τέρματα βουλῆς
βαρβαρὶς ἔκ τ' ὀλόλυξε παρηίδα τ' ἤσχυνε χερσί, fol. 126
τίλλετο δ' ἀμβροσίην χαίτην παρελοῦσα καλύπτρην,
Περσίδας ἔκ τ' ὀνόμηνε γοάστορας, ἄρχε δ' ἀοιδῆς·
«Κλῦτε, φίλαι, τὸ μύθημα παρ' ὑμέσιν ὕστατ' ἐνίσπω·
οἰχόμεθ', οὐκέτι μῆχος ἀπότροπον, οὐκέτι λώβης·
οἰχόμεθ', αὐσονίῳ ὑπὸ γούνατα δουρὶ δαμέντες·
ἤριπ' ἐμός τε Θόωκος, ἐμός δ' ἀνατέτροπε θρῆνυς,
θύεά τ' εἰλαπίναι τε καὶ ἄμβροτ' ἀπέφθορε δεῖπνα·
οὐκέτ' ἐγὼ βασίλεια, μετ' αὐσονίῃσι δὲ δμωαῖς
δούλιον ἕρξομ' ἄροτρον ἰδ' ἡγεμόνεσσι πιθήσω·
οὐδέ μοι ὑψικόρυμβος χραῖσμε πόλις μεγάπυργος·
ἀλλὰ καὶ ὡς φρασόμεσθα βίου φυλάκτορα βουλὴν
ὑστατίην, ἱκέτας δὲ μεγαλκέϊ κρίνομεν ἀρχῷ,
οἵ μιν ἱκόμενοι λιτάσονται ζώσιμον αἷμα
ἄμμι χαρισσέμεναι, βριθὺν δ' ἀπαλαλκέμεν οἶτον.»
ὣς ἔφατο κλαίουσα, πόλιν δ' ὀνόμηνε καὶ ηὔδα·
«Χαῖρε, πόλι κρατερή, τὴν μὲν περὶ τείχεα μακρὰ
κυκλόθεν ἐστεφάνωσε, λόφος δ' ὑπὲρ αἰθέρ' ἄειρεν,
ἀλλὰ καὶ ὡς παλάμῃ βριαρὴ λάβεν Αὐσονιήων·

---

209 ἔθνεσι 215 κύδος 226 vgl. Hes. OD 265 231 ἐνείσπω 241 οἵ καί μιν ἱκ. λιτάσσονται 243 ηὖδα, aber vgl. 189

χαῖρ' ἐμὰ πάντα μέλαθρα θρόνοι τὲ καὶ ὄλβος ἀπείρων,
οἶσι μέγα φρονέουσα κακῶς ἐφάμην βασιλῆα.»
ἡ μὲν ἄρ' ὣς γοάασκε, λιτὴν δ' ἄγον ἄνδρες ἄνακτι,
χεῖρας ἔχοντες ὄπισθε, κόνιν δὲ κάρηῃσι βαλόντες
κειράμενοί τε πλόκαμον· ὃ δ' οὐκ ἀπεπέμψατο μῦθον,
ἀλλὰ λιτῆς τ' ἐσάκουσε καὶ ἐς πόλιν ἤλυθ' ἀγαυὴν
πανσυδίῃ, βιότου δὲ κύκλους πόρεν ἐνναετῆρσι.
καὶ τότε Περσὶς ἔμαθεν ὑπέρβιον ἄλκαρ ἄνακτος,
προπροκυλινδομένη μεθ' ὁπλῇσιν ἅρραβος ἵππου,
κοίρανον ὃς φορέεσκεν ἐλέπτολιν, ὀλβιονίκην·
χαῖρε δ' ἄναξ ὁρόων καλὴν πόλιν, αὐτὰρ ἔπειτα
νηὸν ἔβη πολιοῖο πρὸς αἰῶνος θυέεσσι
μυσαχθέντ' ἀνάγνοισι καὶ αἴσχεσι βαρβαρικοῖσι·
καὶ μὲν τῆσδε πόληος ἀμύμονα ἀρχιερῆα
χερσὶ λαβὼν ἵδρυσεν ἐπ' ἀμβροσίοιο θοώκου,
παμμεδέοντι δ' ὄπασσε θεῷ ἐπινίκιον ὕμνον
καί Θ' ἁγνῇ θεόπαιδι μεγαλκέϊ ἐθνολετείρῃ.
ὡς δ' ὁπόταν μετὰ χεῖμα, ὅτ' οὐ μὲν γηπόνος ἀνὴρ
γαῖαν ἐπιστείχων μελεδαίνεται οἷο πόνοιο,
μίμνει δ' ἀμφὶ μέλαθρα παρήμενος αἰθούσῃσι,
πῦρ μέγ' ἀναψάμενος· καί οἱ ἐρατὴ παράκοιτις
ὀρθρίῳ ἔδμεν' ἔδωκεν, ἐνέγκασα εἴδατα καλά,
ἀμφῶες δὲ κύπελλον ἐπιστεφὲς ἀκρήτοιο
θήκατό οἱ μετὰ χερσὶ καί ἑ πρὸς μῦθον ἔειπε·
«Λάζευ, ἐμὴ κραδίη, καὶ ἔκπιθι αἰθοπα οἶνον,
ὥς κέ τοι ἐν στήθεσφιν ἀεξήσῃ μένος ἠύ.»
αὐτὰρ ὁ χειρί Θ' ἕλεσκε καὶ ἔκπιε γηπόνος οἶνον·
οὐρανόθεν νιφάδες δὲ κατὰ χθονὸς εἵατο πυκναί,
νιφάδες, αἳ μὲν ὅλην λευκὴν ἐτέλεσσαν ἄρουραν·
πᾶν δέ Θ' ὕδωρ προπέπηγε, τετρίγασι δ' ἀνδρὸς ὀδόντες —
ὡς ὅτε γοῦν μετὰ χεῖμα ἐπήρατος εἴαρος ὥρη
φάνῃ μειδιόωσα ὅ τ' αἰπόλος αἶγα νομεύει,
βουκόλος ἐκ δ' ἐλάῃσι τὰ βοίδια ἧς ἀπὸ μάνδρης
ἐς ῥέεθρόν τε πόην Θ' ἁπαλόχροα, μῆλα δὲ ποιμήν,
γήθησαν δ' ἀνέρες, περὶ δὲ χθόνα κάλλυνε ποίη,
ὣς ἄρα καὶ πτολίπορθος ἄναξ ἀπ' ἄνακτος ἀγαυοῦ·
καὶ στρατιὴ σύμπασα ὑπέρβιος Αὐσονιήων
παύσατό τ' ἐκ καμάτοιο καὶ ἄμπνυτο, ᾖσμα δὲ λέξε·
«Ῥώμη ὀψιγένεθλε πόλις, πολίων βασίλεια,

---

284 ἄσθμα 285 πολήων

Ῥώμη Κωνσταντινιάς, ἀγνῆς κλῆρος ἀνάσσης, fol. 126ᵛ
τίς ποτέ τοι Γάγγρην μετενείματο; τίς ποτ' ἀνάκτων
τοῖσιν ἐπ' ἠελίοις καὶ Κασταμόνος πόρεν ἀρχήν;
τίς τοι ἑῷου ἔκαμψεν ἀκαμπέος αὐχένος ὕψος,
290 *δμωὰς βαρβαρίδας δε μεγακρατέας πόρεν ἀρχούς,*
ἄτερ Ἀλεξιάδαο Ἰωάννου βασιλῆος;
τῷ κε μακροὺς λυκάβαντας ἀρώμεθα, Αὔσονες υἱοί.»

2. Ein Gedicht des Prodromos auf den Tod der Anna Komnena?

In dem Codex Palatinus gr. 43, der 1623 mit allen übrigen Hss der Bibliotheca Palatina nach Rom gebracht wurde, 1797 nebst einigen anderen von da nach Paris gelangte und endlich 1815 wieder nach Heidelberg zurückkam, soll sich unter verschiedenen Gedichten des Theodoros Prodromos auch ein „Epitaphium uxoris Nicephori Briennii" befinden. So lautet wenigstens die Notiz bei Fr. Wilken, Gesch. der Bildung, Beraubung und Vernichtung der alten Heidelbergischen Büchersammlungen. Heidelberg 1817, S. 277.[1]) Die Gemahlin des Nikephoros Bryennios ist bekanntlich Anna Komnena, die Tochter des Kaisers Alexios I, die aus der byzantinischen Geschichte durch ihre ehrgeizigen Pläne bekannt ist und in der Literaturgeschichte einen ehrenvollen Platz einnimmt als Verfasserin der die Regierung ihres kaiserlichen Vaters schildernden Alexias. Eine Monodie auf ihren Tod ist also wohl imstande, allgemeines Interesse zu erregen. Denn wenn auch die Erfahrung schon vielfach gelehrt hat, daß byzantinische Monodien und Epitaphe bei allem Wortschwall zur Aufhellung der Lebensschicksale der in ihnen behandelten Personen meist so gut wie nichts beitragen, so konnte man doch die Hoffnung hegen, in diesem Falle vielleicht eine Ausnahme von der Regel zu finden und wenigstens einige noch unbekannte Daten für das Leben oder interessante Züge für den Charakter der hochbegabten Prinzessin zu gewinnen. Leider hat sich diese Hoffnung als eitel erwiesen, freilich nicht aus dem eben angeführten Grunde, sondern deshalb, weil wir es in dem betreffenden

291 *ἰάννου*

1) Dieselbe Notiz steht auch bei H. Stevenson, Codices manuscripti Palatini graeci Bibl. Vaticanae. Rom 1885, S. 23 (carmen funebre in uxorem Nicephori Bryennii) und bei C. Neumann, Griech. Geschichtschreiber und Geschichtsquellen im 12. Jahrh. Leipzig 1888, S. 22 Anm. 2 (*ἐπιτάφιοι τῇ γυναικὶ τοῦ κυροῦ τοῦ πανευτυχεστάτου καίσαρος κυροῦ νικηφόρου βρυεννίου*). — Papadimitriu bietet die richtige Lesung.

Texte garnicht mit Anna Komnena zu tun haben, sondern mit ihrer Schwiegertochter Theodora.

Der Titel des metrischen Epitaphs ist nämlich bisher nicht richtig gelesen worden. Er lautet in der Hs: *ἐπιτάφιοι τῇ γυναικὶ τοῦ υἱοῦ* (nicht *κυροῦ*) *τοῦ πανευτυχεστάτου καίσαρος κυροῦ νικηφόρου τοῦ βρυεννίου κυρᾶ θεοδώρα.* Ungeachtet des also veränderten Sujets hätte das Gedicht des Palatinus immerhin als Erzeugnis des Theodoros Prodromos eine Edition verdient, wenn es nur nicht infolge des überaus defekten Zustandes des Palatinus, dessen Blätter vielfach am Rande zerfetzt und dazu noch bisweilen mit Pauspapier verklebt sind, unmöglich gewesen wäre, den Text des Gedichts nach dieser Hs allein in wünschenswerter Vollständigkeit wiederzugeben. Zum Glück hat es sich dank den Bemühungen K. Hornas herausgestellt, daß der Codex Neapol. II D 4, der als Fundgrube für Schriften des Prodromos bekannt, aber noch nicht gründlich durchforscht war, dieselben Stücke des Prodromos enthält wie der Palat. 43. Auf Grund beider Hss läßt sich jetzt das Epitaph in einer lückenlosen und durchweg urkundlich gesicherten Gestalt vorlegen.

Beide Hss stehen, wie schon der gleiche Inhalt vermuten läßt und eine Vergleichung der Lesarten in den hier nach ihnen veröffentlichten Gedichten bestätigt, in einem sehr nahen Verhältnisse zueinander. Wenn N nicht direkt aus P abgeschrieben ist, so geht er wenigstens sicher auf dieselbe Vorlage wie P zurück; jedenfalls aber ist der ursprüngliche Wortlaut in P treuer überliefert, so daß N nur insoweit Wert hat, als er zur Ausfüllung der Lücken in P dienen kann, während seine abweichenden Lesarten teils offenbare Fehler, teils irrelevante Änderungen darstellen. Außerdem sind von N drei Verse des Epitaphs ausgelassen.

Das hier mitgeteilte Epitaph behandelt also den Tod einer Theodora, die mit einem Sohne des Nikephoros Bryennios und der Anna Komnena verheiratet war. Nach den im Gedicht gegebenen Notizen stammte Theodora, die der Dichter als eine mit allen Tugenden begabte Zierde des weiblichen Geschlechts preist, aus einem vornehmen Herrscherhause eines fremden Landes (*ἡρωικὴ κήπευσις, βασίλειος ῥίζα*, V. 24 f.). Sie ist in frühester Jugend an den kaiserlichen Hof in Byzanz gekommen (V. 30), wo sie von der Kaiserin Irene und deren Tochter Anna erzogen wurde (V. 36 ff.), um dann mit Johannes (Dukas), dem zweiten Sohne des Bryennios, verheiratet zu werden (V. 67 und 189). Der Ehe scheint nur ein Sohn entsprossen zu sein, der nach dem Großvater den Namen Nikephoros erhielt (V. 60 ff. und 190). Während ihr Gatte seinen Oheim, den Kaiser Johannes, auf einem Kriegszuge in Kleinasien

begleitet (V. 68 f.), erkrankt Theodora an einem hartnäckigen kalten Fieber, das sie acht Monate lang ans Krankenlager fesselt (V. 80) und schließlich zu ihrem Tode führt. Nachdem sich ihr letzter Wunsch, den Gatten noch einmal wiederzusehn, erfüllt hat, nimmt sie nach byzantinischer Sitte auf dem Sterbebette unter dem neuen Namen Katharina den Nonnenschleier und stirbt dann eines seligen Todes.

Zur Bestimmung des Todesjahres der Theodora kann zunächst der Umstand dienen, daß des Kaisar Bryennios, ihres Schwiegervaters, im Gedichte (V. 46 ff.) als eines bereits Verstorbenen gedacht wird. Nach der gewöhnlichen Annahme ist Bryennios im J. 1137 oder 1138 gestorben, nachdem er sich noch an dem 1137 unternommenen Feldzug gegen Syrien beteiligt hatte (vgl. C. Neumann, Geschichtschreiber S. 22 und GBL 272), was sich auf die ausdrückliche Angabe der Alexias stützt, Bryennios sei bereits schwerkrank nach Syrien mitgezogen und von dort in ganz hinfälligem Zustande durch Kilikien, Pamphylien, Lydien und Bithynien in die Hauptstadt zurückgebracht worden, I, 6, 26: *ἔνθεν μὲν γὰρ εἰς Σύρους καὶ Κίλικας δεινῶς νοσῶν ἐξεστράτευεν· εἶτα κἀκεῖθεν Συρία τοῦτον μὲν ἀπέδωκεν ἀρρωστοῦντα Κίλιξι, Κίλικες δὲ Παμφυλίοις, Παμφύλιοι δὲ τοῖς Λυδοῖς καὶ ἡμῖν, ἐξῳδηκότα ἤδη τὸ σπλάγχνον ἐκ τῆς πολλῆς κακοπαθείας.* Aber das dafür angenommene Jahr 1137 kann mit absoluter Sicherheit als falsch und als zu spät gegriffen zurückgewiesen werden, auf Grund des oben erwähnten Typikon des Kaisers Johannes, in dem unter den verstorbenen Verwandten des Stifters, deren alljährliche Gedächtnisfeier besprochen wird, auch Bryennios genannt wird (Dmitrij. *Τυπικά* I S. 662: *τοῦ καίσαρος καὶ γαμβροῦ τῆς βασιλείας μου, τοῦ Βρυενίου*). Bryennios muß also jedenfalls vor dem Oktober 1136, zu welcher Zeit Johannes das Typikon durch seine Unterschrift bestätigte, gestorben sein. Da aber anderseits auch die von Anna mitgeteilte Nachricht von seiner beabsichtigten Teilnahme am syrischen Feldzuge durchaus nicht angezweifelt werden kann, so läßt sich dies Dilemma nicht anders lösen, als daß wir wiederum die landläufige Datierung aufgeben, den syrischen Feldzug um ein Jahr früher ansetzen und den bald nach Beginn der Expedition eingetretenen Tod des Bryennios in die erste Hälfte des J. 1136 verlegen.

Einen zweiten Anhaltspunkt zur Datierung des Todes der Theodora bietet V. 69 des Gedichts, wo es heißt, der Kaiser Johannes habe wiederum den Halys überschritten und die Städte der Barbaren erstürmt. Damit scheint der gleich nach der syrischen Expedition von neuem gegen die Seldschuken von Ikonion aufgenommene Kampf gemeint zu sein, von dem Niketas Choniates p. 44, 7 ff. berichtet,

so daß Theodoras Tod etwa in den Anfang des J. 1138 gesetzt werden kann.

Prodromos hat vorher auch die Hochzeit des Johannes Dukas und der Theodora oder vielmehr die an einem und demselben Tage vollzogene Hochzeit beider Söhne des Bryennios durch ein Epithalamium verherrlicht (Migne *133*, 1397 ff.); doch ist der Ertrag dieser Gratulationsschrift an sicheren historischen Nachrichten über die Gefeierten gleichfalls äußerst dürftig. Die Hochzeit fand am Tage nach der siegreichen Heimkehr des Kaisers Johannes statt (p. 1403 B: *εἴδετε ... ὑμῶν τοὺς υἱέας ... προπεμπομένους τὰ νυμφευτήρια τῷ χθὲς τὰ ἐπινίκια προπεμφθέντι θείῳ καὶ βασιλεῖ*). Am besten nehmen wir wohl an, daß die erwähnte Siegesfeier sich auf die glückliche Beendigung des Kampfes mit den Petschenegen bezog, so daß die Doppelhochzeit im J. 1122 stattgefunden hat. In der Datierung des Sieges über die Petschenegen schließen wir uns Muralt an, während Hertzberg ihn ins J. 1123 verlegt. Niketas (p. 19, 19 ff.) berichtet, der Kampf mit den Petschenegen habe ungefähr im fünften Regierungsjahre des Kaisers Johannes stattgefunden (*περὶ τὸ πέμπτον ἔτος τῆς αὐτοῦ βασιλείας*). Es fragt sich nun, wie Niketas gerechnet hat. Hat er als erstes Jahr genau den Zeitraum von August 1118 bis August 1119 gezählt oder hat er weniger genau das J. 1118 für voll angenommen? Wir entscheiden uns für das letztere, auf Grund anderer Nachrichten, die mit dem Tode des Sebastokrator Andronikos, des zweiten Sohnes der Kaiserin Irene Dukaina, zusammenhängen. Einerseits nämlich ergibt sich aus einem (noch unedierten) Gedichte des Prodromos auf diesen Tod (vgl. Migne *133*, 1068), daß Andronikos vor seiner Mutter Irene (d. h. also vor dem 19. Febr. 1123) starb, und anderseits meldet eine (gleichfalls noch ungedruckte) anonyme Monodie auf denselben Andronikos im Barocc. 131 fol. 228^{v}, er habe sich nicht lange vorher in dem Kampfe am Istros ausgezeichnet: *ὦ τῶν παριστρίων ἀγώνων ἐκείνων· μέμνημαι γὰρ τῶν πρὸ μικροῦ σου θαυμάτων, γενναιότατε σεβαστοκράτωρ· ἔθνος ἐστὶν ἀμαξόβιον ... εὔστοχα βάλλον ἐν τόξοις καὶ ἱππεύειν καλῶς ἐπιστάμενον, ἀνυπόστατον τὴν ἀλκὴν καὶ τὸν θυμὸν ἀγριώτατον· τοῦτό ποτε καθ' ἡμῶν ἐστράτευσε πανσυδὶ κτλ.* Das sind unzweifelhaft die Petschenegen, deren Niederwerfung durch den Kaiser Johannes also bereits im J. 1122 stattgefunden haben muß. Ein früheres Datum der Hochzeit wird durch das gespannte und geradezu feindselige Verhältnis zwischen Anna und ihrem kaiserlichen Bruder während seiner ersten Regierungsjahre ausgeschlossen, ein späteres wieder dadurch unmöglich gemacht, daß die Kaiserin Irene Dukaina, die am 19. Februar 1123 starb, bei der Hochzeitsfeier zugegen war

(p. 1400 B: *ἴδετέ μοι τὴν ἱερὰν ταυτηνὶ βασιλίδα τὴν φερώνυμον Εἰρήνην, τὸν Δουκικὸν ὄρπηκα κτλ.*).

Über die Herkunft der beiden Bräute gibt Prodromos in der Hochzeitsrede keine genaue Auskunft; er bezeichnet sie ganz allgemein als *αἱ ἐξ ἀρχηγῶν* und *ἀρχηγῶν θυγατέρες* (p. 1403 B; 1404 A). Doch wissen wir aus Zonaras Hist. 18, 28, daß die Braut des älteren Bruders Alexios (Komnenos) eine abasgische Prinzessin war, die im J. 1118, als der Kaiser Alexios im Sterben lag, von einer Gesandtschaft geleitet in Byzanz eintraf, um, wie wir in Anbetracht zahlreicher analogen Fälle hinzufügen können, hier bis zur Erreichung des heiratsfähigen Alters unter der Obhut ihrer zukünftigen Schwiegermutter erzogen zu werden.[1])

So liefert denn das hier abgedruckte Gedicht des Prodromos, abgesehen von dem immerhin bedeutungsvollen negativen Ergebnis, daß es mit dem Tode der Kaisarissa Anna nichts zu tun hat, an positivem Ertrag bloß eine geringfügige Ergänzung zum weitverzweigten Stammbaum der Komnenen.

⟨Θεοδώρου τοῦ Προδρόμου⟩

Ἐπιτάφιοι τῇ γυναικὶ τοῦ υἱοῦ τοῦ πανευτυχεστάτου καίσαρος κυροῦ Νικηφόρου τοῦ Βρυεννίου, κυρᾷ Θεοδώρᾳ.

Οὐκ οἶδα, πῶς νῦν ἐξοδεύσω τὸν λόγον
καὶ πῶς δραμοίμην τὸν προκείμενον δρόμον
καὶ τίς γενοίμην ταῖς ἐνεστώσαις τύχαις·
ἂν ταῖς ἀβύσσοις ἀτενίσω τοῦ πάθους
καὶ τὴν προβᾶσαν ἐννοήσω ζημίαν,
ἄλλας ἀβύσσους ἐκμετρῶ θρηνημάτων,
δάκρυσι κιρνῶ τὸν κρατῆρα τοῦ λόγου,
ὀδυρματώδη τὴν ἀφήγησιν πλέκω
καὶ πρὸς στεναγμοὺς ἐκκινοῦμαι βυθίους.
ἂν ἐς τὸ μακάριον ἐμβλέψω τέλος
τῆς νῦν θανούσης καὶ λιπούσης τὸν βίον,

---

1) Die angeführte Stelle des Zonaras erfährt durch Muralt eine höchst willkürliche Interpretation, wenn er (S. 120) sagt: Jean Porphyrogennète . . . s'était mis à la tête des troupes Abasgues, nouvellement arrivées et point instruites des plans de l'impératrice.

Codex Palat. gr. 43 fol. 91^{v}—92^{v} = *P*
Codex Neapol. II D 4 fol. 93^{r}—94^{v} = *N* (nach einer Kollation von Dr. K. Horna)
Lemma: *βρυεννύου N* 4 *ἀβύσσοις ἐντρανίσω N* 5 *προβάσαν PN*
6 *ἀ . ὑσσους P*

σκιρτῶ μετ' αὐτῶν τῶν ἐφ' ὕψους ταγμάτων
καί μοι γέγηθεν ἀσφαλῶς ἡ καρδία
καὶ ταῖς ἄνωθεν συγκροτεῖ στραταρχίαις,
κοινὴν ἑορτὴν καὶ χαρὰν ποιουμέναις
τὸ τηλικαύτης προσλαβεῖν ψυχῆς σέλας.
διχάζομαι γοῦν καὶ μερίζομαι μέσος
καί με τρυτάνη χαρμονῆς καὶ δακρύων
ἐκεῖθεν ἔνθεν θαμινῶς μετακλίνει.
Ὡς γὰρ ἀπ' ἀρχῆς ἄχρις αὐτοῦ τοῦ τέλους
τὰς σὰς ἐπέλθω καὶ διαδράμω τύχας,
ὦ θήλεος κόσμημα, καλῶν ἑστία
καὶ δῶρον ὄντως τοῦ θεοῦ λόγου μέγα,
ἡρωικὴ κήπευσις ἐξήνεγκέ σε
καὶ ῥίζα βασίλειος ἐβλάστησέ σε
τὴν ἡμερίδα τὴν καλὴν καὶ κοσμίαν·
ἓν τοῦτο καλόν, ἡ γενικὴ σεμνότης·
ἀλλὰ μετῆρε καὶ μετηνέγκατό σε
ὁ τῆς προνοίας κοσμαγωγὸς βραχίων
ἐξ εὐτυχοῦς γῆς εἰς τρισευτυχεστέραν
κήποις τὲ χρυσοῖς ἐγκατερρίζωσέ σε,
κήποις ἐκείνοις τοῖς βασιλικωτάτοις,
ἐν οἷς ὑπήνθει μυρίον μὲν τὸ κρίνον,
ἀπείριτος δὲ τῶν ῥόδων ἡ λευκότης,
πολύς δ' ὁ κιττὸς εἶρπεν, ὁ σμίλαξ δ' ὅσος·
καὶ τὰς φυτουργοὺς ὡς καλὰς δέδωκέ σοι
αὐτήν τὲ τὴν προὔχουσαν ἐν βασιλίσι,
τὴν παμβόητον ἐν γυναιξὶν Εἰρήνην,
τὴν πρὸς δόσεις ἄβυσσον ἀχανεστάτην,
τὴν ἀρεταῖς στέψασαν αὐτὸ τὸ στέφος,
τὴν τῶν παθῶν δέσποιναν, οὐ τῆς γῆς μόνον,
καὶ τὴν ἀπ' αὐτῆς καὶ κατ' αὐτὴν τοῖς τρόποις,
τὸ δουκικὸν θρύλλημα, τὴν σοφὴν Ἄνναν,
τὸν ἄντικρυς νοῦν, τὴν χαρίτων ἑστίαν,
τὸ λευκέρυθρον πορφυράνθητον ῥόδον,

---

12 μ . .'' . . τῶν *P* 15 κ . ινὴν *P* 16 προσλαλεῖν *N* 17 μέσος (korrig. aus μέσως) *P* 18 με τ.υτάνη τρυτάνη (aber das 2. durch Punkte getilgt) *P* 19 θαμι . . . *P* 20 μέχρις *N* 21 ὑπέλθω *N* 24 ἡρωι . . .'. πευσις *P* 26 ἡμερίδα καὶ *N* κο.μίαν *P* 27 καλὸ *N* 28 μετεῖρε *N* 29 βλαχίων *N*: zwei unleserliche Worte (das erste durch Punkte getilgt) *P* 31 ἐγκατερίζωσέ *N* 33 ὑπήνθη *N* 35 εἶρπε δ' ὡς σμίλαξ *N* 41 οὐ τῆς . ῆς . .'. ον *P* 44 τὴν ἄντικρυς *N* τὴν χα . . . . . *P*

κἂν νῦν μέλαινα τοῦτο καλύπτῃ κάλυξ,
τοῦ δεσπότου μου (στῆθι μοι, ῥοῦς δακρύων),
τοῦ δεσπότου μου (μὴ ῥαγῇς μοι, καρδία),
τοῦ δεσπότου μου (τέτλαθι, στέρνον τάλαν),
τοῦ δεσπότου μου τὴν ὅμευνον καίσαρος.
πρὸς ἃς κατευθύνουσα πάντα τὸν βίον
καὶ προστιθεῖσα τὴν μίμησιν τῇ φύσει
καλῶς πεφυτούργησο καὶ συνηυξάνου,
ὅρπηξ νεαρὸς ἀκλινῶς ἀνατρέχων,
ὡς ἀναδενδράς, ὡς κυπάριττος νέα.
καὶ τῷ παρ' αὐτῶν φύντι παγκάλῳ κλάδῳ,
τῷ πάντοθεν βρύοντι πολλὴν τὴν χάριν
ἐκ κλήσεως εἴδους τε καὶ σεμνοῦ τρόπου,
θεσμοῖς γαμικῶν συνεκεντρίσθης νόμων.
καὶ καρπὸν ἐβλάστησας ἐκ τούτου νέον,
πάσαις περιβρίθοντα χρηστῶν ἰδέαις
καὶ τῇ καλῇ μάλιστα παππωνυμίᾳ.
Τοιαῦτα μέν σου ταῦτα· τάς δ' ἑξῆς τύχας
τίς χάλκεος νοῦς ἢ σιδήρεον στόμα
δίχα στεναγμῶν φθέγξεται καὶ δακρύων;
ὁ μὲν γὰρ εἰς νόμιμον ἐλθών σοι λέχος,
ὁ πάντα καλὸς καὶ γλυκὺς Ἰωάννης,
ὑπὲρ τὸν Ἅλυν ἐξεδήμει καὶ πάλιν
τῷ μητραδέλφῳ συστρατεύων δεσπότῃ,
ὅλος σιδηρόφρακτος ἱπποτοξότης
καὶ μέχρι ταρσῶν ἐσφυρηλατημένος,
καὶ συγκαθῄρει τὰς πόλεις τῶν βαρβάρων·
σὲ δὲ στρατιὰ βαρβάρων νοσημάτων
ὅλην ἑλεῖν ἔσπευδε, τὴν τούτου πόλιν,
νῦν μὲν καμίνους πυρετῶν πρηστηρίων
ὅλας ἀναφλέγουσα καὶ φλέγουσά σε,
νῦν δ' ἀλλεπαλλήλων σε τῶν ῥιγωμάτων
πιμπλῶσα καὶ ψύχουσα κρυστάλου δίκην·
ἐξ ὧν τὰ πλεῖστα τῶν μελῶν ἔρρευσέ σοι
δρόμῳ σελήνης ὀγδόῳ τετηγμένῃ,

---

46 *καλύπτει N* 47—49 *μου* (hinter *δεσπότου*) dreimal korrig. aus *μοι P* 47 *στῆθι μου N* 48 *ῥαγῆς μου N* 50 *δεσπότου μοι P* 53 *συν . . ξ . . ου P* 56 *παρ' αὐτῶ PN* 58 *εἴδους τὲ P* 60 *τίτου νέον PN* (aber tachygr. ist *ι* = *ου*, vgl. Zereteli, De compendiis scripturae p. 123) 62 *παπτωνυμία N* 63 *τὰς δ' P* 68 *ἄλυν P ἐξεδήμησε πάλιν N* 73 *βαρβάρων στρατευμάτων N* 75 *πρηστηρίους N* 77 *σε* (korrig. aus *σοι*) *P* 80 *τετηγμένω PN*

ἐν οἷς ὅλοις ἄληκτον ἦν τὸ τῆς νόσου
καὶ συνεχὴς ἡ θλῖψις ἐστήρικτό σοι,
ὡς εἰς ποταμὸν Ταρτάρου βεβλημένῃ
κἀκεῖθεν εἰς κρατῆρας Αἴτνης ἠγμένῃ·
ἦν γὰρ τὸ τέρμα τῆς πυρᾶς ἀρχὴ φρίκης
καὶ τῆς φρίκης τὸ τέρμα τῆς πυρᾶς πάλιν.
καὶ τοῦ κρύους μὲν ἐν μέσῳ καὶ τοῦ θέρους
ἐαρινὴ προῆλθεν εὔκρατος χάρις
οὔτε φλογώδης καὶ πυρώδης ὡς θέρος
οὔτε φρικώδης καὶ παγώδης ὡς κρύος,
ἀμφοῖν δ' ὁμαλῶς καὶ καλῶς κεκραμένη·
σύ δ' ἐφλέγου μὲν πυρετῶν λάβρῳ θέρει,
ἐκρυσταλοῦ δε καὶ παροξυσμῶν κρύει,
ἔαρ δὲ λυσίμοχθον οὐκ εἶχες μέσον,
μᾶλλον δ' (ὅπως ἂν ἀκριβέστερον φράσω)
τὸ φθινόπωρον εἶχες ἐν τούτοις μέσον,
δεινῶς ἀποφθίνουσα πᾶν τὸ σαρκίον·
καὶ τοῖς μὲν ἄλλοις παντελῶς τεθνηκόσιν
οὕτω τὸ σῶμα καὶ χαοῦται καὶ ῥέει·
σύ δ' ἐμπνέουσα καὶ παροῦσα τῷ βίῳ
τῇ συγγενεῖ γῇ σὴν προσεκλήρου κόνιν.
ὦ παμμέγας νοῦς, ἀγγελικὴ καρδία,
τὸ σῶμά σοι πᾶν ἔβλεπες διαρρέον
καὶ τῶν μελῶν ἔθαπτες αὐτὴ τὰ πλέω,
καὶ θῆλυς οὐδεὶς ἐξεπέμφθη σοι λόγος
οὐδ' ἡ νόσος γοῦν ἐξεμαλθάκισέ σε
οὐδὲ σχεθεῖσα τὸν λογισμὸν τῷ πάθει
τὴν εἰς θεὸν μεθῆκας εὐχαριστίαν,
ἀλλ' ἀντετίθεις εὐγενῶς καὶ πανσόφως
τοῖς πυρετοῖς μὲν τὴν πρὸς αὐτὸν ἐλπίδα,
ἄλλην Ἀερμὼν τυγχάνουσάν σοι δρόσον,
ταῖς δὲ φρίκαις ἔμπαλιν αὐτοῦ τὸν πόθον,
ὃν θερμὸν ἐξέθρεψας ὡς πυρὸς φλόγα.
ἓν ἦν τὸ λυποῦν, ἓν τὸ δάκνον καὶ θλίβον
καὶ τὸν μέγαν νοῦν ὑπτιάζον καὶ τρέπον,

88 προσῆλθεν *N* 91 κεκραμμένης *N* 92 πυρετῶν .'. βρω θέ .. *P* λαύρω σθένει *N* 93 ἐκκρυσταλοῦ *P* ἐν κρυσταλοῦ *N* 95 ἀκριβ .... ρον φράσ. *P* 98 παντελῶς .....'σιν *P* 99 οὔτε τὸ *N* χαοῦται: χνοοῦται *PN* 101 συγγενῆ *N* γῆ .'..... κόνιν *P* 104 μελῶν ἔθ ..... τὴ τ. π ... *P* 106 ἐξεμαλθάκησέ *N* 107 τῶν λογισμῶν *N* πάθ .. *P* 111 Ἀερμών, vgl. Deuteron. 3, 9; 4, 48 114 ἓ .'ν τὸ λυ .... τὸ δάκνον .. θλιβ . ν *P* λιποῦν *N* 115 καὶ τὸν .. γαν νοῦν *P*

τὸ μὴ παρεῖναι τὸν γλυκὺν ξυνευνέτην
μήτ' οὖν τὰ λοῖσθα καὶ βλέπεσθαι καὶ βλέπειν
καὶ συγγενῆ ῥοῦν συγγενῶν τῶν δακρύων
ὡς ἀπὸ πηγῶν συγγενῶν ἀπορρέειν.
ὅθεν τὸ θεῖον ἐκτενῶς ἐλιπάρεις
τόσην παρασχεῖν ἡμερῶν προθεσμίαν,
τόσην βραβεῦσαι πρόσθεσίν σοι τοῦ βίου,
ἕως ἂν ὄψει τοῦ ξυνεύνου τὴν θέαν,
ὡς ἂν παράθῃ τὴν πνοὴν τούτῳ μόνῳ,
ὃν ὑπὲρ αὐτὸν ἀνέπνεις τὸν ἀέρα.
καί σοι κατ' εὐχὴν ἐξέβη τὰ πράγματα·
εἶδες γὰρ αὐτὸν καὶ γλυκὺ προσεπλάκης,
οὐ δακτύλοις μὲν τοῖς δὲ δακτύλων τύποις,
ἀλλ' οὐδὲ χερσὶ τοῖς δὲ χειρῶν ὀστέοις,
ἀλλ' οὐδὲ σαρξὶ τοῖς δὲ σαρκῶν λειψάνοις·
ἔκλαυσας, ἀντέκλαυσεν, ἀντῴμωξέ σοι,
ἔπλησεν ἐμφὺς δακρύων τὸν αὐχένα,
τιλμῷ κατεσπάραξε τὴν χρυσῆν κόμην
καὶ τὴν παρειὰν τὴν καλὴν ἤμυξέ σοι,
τὸ καθ' ἑαυτὸν καὶ προεκτέθνηκέ σου.
καὶ ταῦτα μὲν βρότεια καὶ θνητῶν νόμοι,
τά δ' ἔνθεν ὡς μίμησις αὐτῶν ἀγγέλων·
αἰτεῖς τὸ σεπτὸν σχῆμα τῶν μονοτρόπων·
ποθεῖς τὸ χρῆμα καὶ ποθοῦσα λαμβάνεις
βαβαὶ σὺν οἵᾳ θερμότητι καρδίας
καὶ σὺν ὅσῳ φλέγοντι δαλῷ τοῦ πόθου·
καὶ ψυχικὴν ἅψασα λαμπρὰν λαμπάδα
συννυμφαγωγῇ ταῖς φρονίμοις παρθένοις
καὶ τοῦ γεώδους ἐκραγεῖσα νυμφίου
αὐτῷ ξυνάπτῃ τῷ νοητῷ νυμφίῳ
καινὴν συναφὴν μυστικῆς κοινωνίας.
εἶπω τὸ μεῖζον; οὐδὲ μέχρι γοῦν θέας
ἔρχῃ πρὸς αὐτὸν τὸν κάτω ξυνευνέτην,
ὡς ἂν φυλάξῃς ἀμιάντους εἰς τέλος
τὸν σαρκικὸν τὲ καὶ τὸν ἐν θεῷ γάμον·

116 *συνευνέτην N* 117 *τὰ .. ῖσθα P* 120 *θεῖος N ἐλυπάρεις N* 122 —124 fehlen *N* 122 *τόσον P* 126 *καί ... κ .. ". χὴν ἐξέβη P* 128 *δακτύλοις* (? oder *-λεις*) *τύποις N* 129 ..... *τοῖς δὲ P* 131 *ἀντέκλαυσε συνώμωξέ N* 132 *".. λησεν ἐμ .. ς P* 135 *προσεκτέθνηκέ PN* 137 *τὰ δ' P* (aber vgl. 35 u. 100) *μίμησιν ἐκ τῶν N* 138 .... *τὸ P* 140 *οἷα θερμότητα N* 143 *ταῖς* (korrig. aus *τοῖς*) *P*, vgl. Matth. 25, 3 ff. 146 *καὶ νὴν N* 148 *πὸς αὐτὸν N*

καὶ τὸ φρικῶδες· ἱερῶν ψαλμῶν μέσον
τὸ πνεῦμα δίδως τῷ θεῷ καὶ νυμφίῳ
αὐτὴ μύσασα τὰς πτύχας τῶν ὀμμάτων,
αὐτὴ περιστείλασα σεμνῶς τὰς χέρας·
μᾶλλον δέ, πρῶτα τὴν πνοὴν ἐρυγγάνεις,
σιγᾷ δ' ἔπειτα τοῦ λαλεῖν σοι τὸ στόμα.
ὦ μακαριστοῦ καὶ σεβασμίου τέλους·
κατ' ἀγγέλους ἔζησας ἐν τῷ νῦν βίῳ,
κατ' ἀγγέλους ἐξῆλθες ἐκ τοῦ νῦν βίου,
σὺν ἀγγέλοις νῦν τὴν κατοίκησιν φέρεις.
Ὢ βασιλικὴ παμβότος ἑστία,
ἐν ᾗ τὸ φιλάνθρωπον ἦν πάλαι κάρα,
ἄλλος μὲν εὐτυχῆ σε καλείτω δόμον,
ἐγὼ δέ σε κλαυθμῶνος ἐξείπω τόπον·
σὺ γὰρ (σιγῶ δὲ τοὺς μακροὺς τανῦν πόνους
καὶ τοὺς μεγίστους καὶ κορυφαίους λέγω)
πρῶτον μὲν αὐχεῖς τὴν βασίλειον κόνιν
τοῦ παμμεγίστου παγκρατοῦς Ἀλεξίου
καὶ τῆς ἀνάσσης τῆς μεγίστης Εἰρήνης,
τοῦ δουκοφυοῦς μυριοβλάστου κλάδου,
καὶ τὸν σοφὸν χοῦν καίσαρος τοῦ πανσόφου
(εἴ τις σοφὸς χοῦς, ἀλλὰ μὴ χοῦς καὶ μόνον)
καὶ τὴν κόνιν νῦν τῆς καλῆς βασιλίδος
τῆς δῶρον οὔσης τοῦ θεοῦ φερωνύμως,
εἰ καὶ μετωνόμαστο τοῦ τέλους πέλας,
Αἰκατερίνα προσφυῶς κεκλημένη.
ᾅδου πέδον σὺ καὶ νεκροστόλος τόπος
καὶ βασιλικῶν ὀστέων ψυχρὸς φύλαξ.
Ἀλλ' ὦ περιθρύλλητε τῷ κάλλει γύναι,
ταῖς ἀρεταῖς δὲ κοσμιωτέρα πλέον
καὶ παντὸς ἁπλῶς ἀγαθοῦ κατοικία,
νύμφη θεοῦ πάνσεμνε, νύμφη παγκάλη,
αἴτει τὸ θεῖον ἐκτενῶς καὶ λιπάρει
τοὺς ἄνθρακας μὲν τῶν πόνων ἀποσβέσαι
τῷ σῷ ξυνεύνῳ, τῆς δὲ τούτου καρδίας
λύπης ἄκανθαν πᾶσαν ἐξανασπάσαι,

---

157 μακαρικοῦ *N* 161 ὦ *PN* παβότος *P* 164 κλαυθμῶνος, vgl. Ps. 83, 7 170 μυριοβλάστου (korrig. aus -πλάστου) *P* 174 ... τοῦ θεοῦ *P* 177 . ου .... ὐ καὶ *P* 178 πικρὸς φύλαξ *N* 180 ... σμιωτέρα *P* ἀρεταῖσι κοσμιωτέρα *N* 183 ..˜. καὶ λιπάρει *P* 185 συνεύνω (σ korrig. aus ξ) *N* 186 .. ης ἄκαν .... αν ἐξανασπάσαι *P* ἄκανθα *N*

τῷ παιδί δ' ἀμύθητον ἡμερῶν δρόμον
ξωῆς τὲ κύκλα προσνεμεῖν πολυχρόνου,
ὡς ἂν ὁ πατὴρ ὁ γλυκὺς Ἰωάννης
δρῶν τὸν υἱὸν τὸν καλὸν Νικηφόρον
σὲ τὴν τεκοῦσαν ὥσπερ ἐν τύποις βλέπῃ.

3. Das Testament der Anna Komnena.

Nach Angabe des Katalogs von H. O. Coxe (Catalogi codd. mss. bibliothecae Bodlejanae pars prima. Oxonii 1853, col. 220) steht im Codex Baroccianus 131 auf fol. 231 eine „Oratio sub persona Annae Porphyrogennetae" mit dem Titel: *Πρόλογος εἰς τὴν διάλεξιν τῆς καισαρίσσης κυρίας Ἄννης, ὡς παρ' ἐκείνης ἐκδοθείς.* Nach dieser Notiz wäre man berechtigt, an eine Disputation, welche die durch Geistesgaben und Bildung ausgezeichnete Prinzessin im Kreise der ihr nahestehenden Gelehrten veranstaltete und mit einem Prolog einleitete oder einleiten ließ, zu denken und demnach von dem genannten Texte einen interessanten Einblick in das literarische Treiben am Hofe der Komnenen zu erwarten. Die Tatsachen entsprechen jedoch dieser Erwartung nicht. Coxe hat nämlich gerade das entscheidende Wort des Titels, das in der Hs etwas abgerieben ist, falsch gelesen. Statt *διάλεξιν* ist, wie auch der Inhalt des Textes beweist, *διάταξιν* zu lesen, so daß es sich hier nicht um eine Disputation, sondern um die letztwillige Verfügung der Kaisarissa Anna handelt.[1])

Der überlieferte Text enthält, wie schon der Titel andeutet, nicht das vollständige Testament, sondern bloß die Vorrede dazu, deren Inhalt in Kürze folgender ist. Indem Anna sich als Tochter des Kaisers Alexios und seiner Gattin Irene vorstellt, hebt sie besonders die warme Liebe der Eltern zu ihr und deren herzliche Fürsorge für ihre Erziehung und Bildung hervor und erklärt, daß sie durch einen in allen Lebensstufen bis auf die gegenwärtige Zeit bewährten Gehorsam ihnen dies zu vergelten bestrebt gewesen sei. Aus kindlichem Gehorsam habe sie auch trotz ihres Verlangens nach einem ehelosen Leben (*βίος καθαρώτατός τε καὶ ἄζυξ*) sich zur Ehe mit Nikephoros Bryennios entschlossen, die ihr dann freilich nur Glück und Zufriedenheit gebracht habe, einen durch alle Vorzüge ausgezeichneten Gatten und eine Schar

187 *δρόμων N* 189 .. *ἂν ὁ πῆ ὁ γλυκὺς ἰῶ P* 191 *βλέπει N* . *λέπη P* (doch fehlt auch der 1. Strich von *λ* und *π* und der 2. von *η*).

1) Papadimitriu gibt die richtige Lesung *διάταξιν*, erklärt aber seltsamerweise das Testament für ein „neues Statut" des von Annas Mutter Irene gestifteten Klosters.

vortrefflicher Kinder. Dem Wunsche ihrer Mutter gehorche sie auch jetzt, indem sie über alle bewegliche und unbewegliche Habe ihre letztwillige Verfügung treffe, deren Einzelheiten in dem nachfolgenden Testamente enthalten seien, das aber, wie wir schon sahen, in der Hs nicht mitüberliefert ist.

Aus dem Prologe erfahren wir nicht viel Neues. Etwas überraschend klingt die Behauptung der Prinzessin, sie habe sich eigentlich ein eheloses Leben und, wie wir wohl berechtigt sind hinzuzufügen, klösterliche Abgeschiedenheit gewünscht und sei nur auf Verlangen ihrer Eltern die Ehe mit Bryennios eingegangen. Das stimmt nicht recht mit dem bekannten herrschsüchtigen Charakter und den ehrgeizigen Plänen, welche die auf das Recht der Erstgeburt so stolze Prinzessin (vgl. Alex. II, 299, 1) bei Lebzeiten ihres Vaters hegte und dann sogar in offener Empörung gegen ihren kaiserlichen Bruder Johannes durchzusetzen versuchte. Doch kann die behauptete Sehnsucht, dem Weltleben zu entfliehen, immerhin die Prinzessin vorübergehend und in sehr jugendlichem Lebensalter beherrscht haben, nämlich in den ersten Jahren nach dem frühzeitigen Tode des jungen Konstantinos Dukas, der seit ihrer Geburt (Dezember 1083) als ihr Verlobter galt und anfangs, solange Kaiser Alexios I selbst noch keinen männlichen Leibeserben besaß, als Mitregent und präsumptiver Thronfolger behandelt wurde, bis sein frühzeitiger Tod (um 1094) auch Annas mit seiner Person verknüpfte Aussichten und Hoffnungen definitiv zerstörte. Über den Zeitpunkt, wann Annas Ehe mit Bryennios vollzogen wurde, haben wir keine ausdrückliche Nachricht. Wenn man bedenkt, daß byzantinische Prinzessinnen meist sehr früh heirateten, kann man etwa das J. 1099 dafür annehmen (vgl. J. Seger, Byzant. Historiker des 10. und 11. Jahrhunderts. I. München 1888 S. 18).

Zur Beantwortung der Frage, welcher Zeit etwa die Abfassung des Testaments der Anna angehört, liefert uns der Text selbst als einzigen Anhaltspunkt die Notiz, daß ihr Vater damals bereits gestorben, ihre Mutter aber noch am Leben war. Das Todesjahr des Kaisers Alexios steht unbezweifelt fest (15. August 1118); für seine Gattin Irene Dukaina ist oben (S. 74) 1123 (19. Febr.) als Todesjahr festgestellt worden. Demnach muß Anna zwischen 1118 und 1123 an die Abfassung ihres Testaments gegangen sein. Von diesem Zeitraum können aber gleich die ersten Jahre gestrichen werden, da im Anfang der Regierung des Johannes nach Annas mißglückter Verschwörung ihr ganzes Vermögen eine Zeitlang konfisziert war und ihr erst auf Fürsprache des Großdomestikus Johannes Axuch, dem der Kaiser Johannes es schenken wollte, zurückgegeben wurde (etwa 1120, vgl.

Niketas Chon. p. 15, 25 ff.). Ferner kann auf Grund einer Notiz im Typikon der Kaiserin Irene Dukaina der Terminus a quo noch etwas weiter vorgerückt werden, da Irene hier in dem ums J. 1121 hinzugefügten Nachtrage[1]) die Abfassung eines Testaments seitens ihrer Tochter Anna erst als eine in der Zukunft zu erwartende Eventualität annimmt: *ἡ ποθεινοτάτη μου ἐγγόνη κυρὰ Εἰρήνη ἡ Δούκαινα, ἡ θυγάτηρ τῆς κυρᾶς Ἄννης . . . μετὰ δὲ τελευτὴν τῆς κυρᾶς Εἰρήνης, εἰ μὲν ἐπὶ διαθήκῃ τελευτᾷ ἡ μήτηρ αὐτῆς ἡ πορφυρογέννητος κτλ.* (Migne *127*, 1109 C). Darnach scheint das Testament der Kaisarissa Anna im J. 1122 abgefaßt zu sein.

Über ihre Kinder äußert sich Anna im Prologe leider nicht mit der Genauigkeit, die uns erwünscht wäre. Sie nennt sie bloß *παῖδες κάλλιστοί τε καὶ ἄριστοι, ἐξ ἑκατέρας τῆς φύσεως*, ohne ihre Zahl anzugeben, und fügt mit derselben Unbestimmtheit hinzu, ein Teil von ihnen sei nach Gottes Ratschluß bereits gestorben. Aus anderen Quellen wissen wir von vier Kindern des Nikephoros Bryennios, zwei Söhnen (Alexios und Johannes) und zwei Töchtern, von denen eine Irene hieß. Wenn wir nun in dem Satze, wo Anna den Wunsch ausspricht, daß sie den Tod ihres Gatten und ihrer Söhne nicht erleben möge, den dabei gebrauchten Ausdruck *τῶν υἱέων* (nicht *τέκνων* oder *παίδων*) urgieren dürfen, so würde sich ergeben, daß zur Zeit der Abfassung des Testaments nur noch ihre beiden Söhne am Leben waren. Das ist aber nicht recht glaublich. Denn in dem eben erwähnten Nachtrage ihres Typikon (also ums J. 1121) nimmt die Kaiserinmutter Irene beide Töchter der Anna als eventuelle Patronessen des von ihr gestifteten Klosters in Aussicht (p. 1116 C): *μετὰ δὲ παρέλευσιν αὐτῆς* (scil. *τῆς καισαρίσσης Ἄννης*) *ἔχῃ τὴν ἐφορείαν τῆς τοιαύτης μονῆς ἡ περιπόθητός μου πορφυρογέννητος καὶ θυγάτηρ κυρὰ Μαρία ἅμα τῇ*

1) Das Typikon der Kaiserin Irene für das Kloster der Gottesmutter *ἡ Κεχαριτωμένη* (Migne, *127*) ist in seinen Hauptteilen noch bei Lebzeiten des Alexios abgefaßt (also vor dem 15. Aug. 1118), hat aber einige Zeit später, in der unterdes Irenes Tochter Eudokia (ums J. 1120) gestorben war, einen kurzen Nachtrag erhalten. Das für Eudokias Tod vermutete Datum beruht auf folgenden, von dem oben erwähnten Gedichte des Prodromos auf den Tod des Sebastokrator Andronikos übermittelten Tatsachen (vgl. Migne *133*, 1069). Prodromos bespricht dort das traurige Geschick der Kaiserinmutter. Mit dem Tode ihres Gatten (1118) habe es begonnen und darauf sei eine lange Reihe von Todesfällen in ihrer Familie gefolgt, indem nacheinander ihr Schwiegersohn Nikephoros (Euphorbenos), ihre Schwiegertochter, die Gattin des Andronikos, und deren Sohn, ihre Tochter Eudokia und endlich auch Andronikos selbst vom Tode hinweggerafft worden sei. — Papadimitriu verlegt den Tod Eudokias in die JJ. 1123/4, den Tod des Andronikos in die JJ. 1124/5.

περιποθήτῳ μου ἐγγόνῃ κυρᾷ Εἰρήνῃ τῇ Δουκαίνᾳ, τῇ θυγατρὶ τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης· τούτων δὲ μεθισταμένων τοῦ τῇδε βίου, περιέρχεσθαι τὴν τοιαύτην ἐφορείαν εἰς τὴν ἑτέραν θυγατέρα τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης κτλ. Und in der Gratulationsschrift des Prodromos zur gemeinsamen Hochzeitsfeier der beiden Söhne der Anna (ums J. 1122) wird zwar nur eine Schwester der beiden Bräutigame, die bereits Witwe ist, erwähnt (p. 1403 C), aber, obschon von der anderen keine Rede ist, so darf deshalb allein doch nicht ex silentio ihre Abwesenheit oder gar ihr Tod gefolgert werden, wie J. Seger (Byz. Historiker S. 26) das tut. Deshalb scheint es doch ratsamer anzunehmen, daß Anna bei dem erwähnten Wunsche, ohne an ihre Töchter zu denken, ihre Söhne als den wichtigsten Bestandteil der Familie speziell im Sinne hat, so daß ihre frühere Bemerkung über die bereits verstorbenen Kinder auf einige uns unbekannte und in frühester Jugend wieder aus dem Leben geschiedene Glieder ihrer Familie bezogen werden muß.

Die Angabe des Titels: *ὡς παρ' ἐκείνης ἐκδοθείς* kann nur so verstanden werden, daß nicht Anna selbst den Prolog zum Testament abgefaßt, sondern einen anderen damit betraut hat. Auf den ersten Blick kann es auffallend erscheinen, daß sie, die gelehrt genug war, um das Lebenswerk ihres kaiserlichen Vaters in ausführlicher Darstellung zu schildern, bei dieser viel kleineren Aufgabe sich der Feder eines Fremden bedient haben soll. Aber diese Erwägung kann doch keinen triftigen Grund abgeben, um die ausdrückliche Angabe des Titels zu verdächtigen, zumal wenn man bedenkt, daß die Abfassung des mit dem Prolog eng zusammenhängenden eigentlichen Testaments außer rhetorischer Bildung auch Kenntnis der juridischen Technik erforderte.

Im Prolog findet sich eine gewisse Zahl von Ausdrücken, die mehr oder weniger an ähnliche Wendungen in der Alexias erinnern. Zeile 11 des Prologs läßt sich mit Alex. I 3, 12 vergleichen: *ταῦτα δὲ διεγνωκυῖα ἐγὼ Ἄννα, θυγάτηρ μὲν τῶν βασιλέων Ἀλεξίου καὶ Εἰρήνης, πορφύρας τιθήνημά τε καὶ γέννημα, οὐ ⟨μόνον⟩ γραμμάτων οὐκ ἄμοιρος, ἀλλὰ ... καὶ ῥητορικῆς οὐκ ἀμελετήτως ἔχουσα κτλ.* Für Z. 27 vgl. Alex. II 315, 12: *τὴν κατασχοῦσαν τὴν οἰκουμένην ἅπασαν συμφορὰν κτλ.* Für Z. 41 ff. vgl. Alex. I 30, 22: *ὁ εὔνους οὗτος υἱὸς ὑπεῖκε τῷ μητρικῷ θελήματι οὐ τὰ ἐν βρέφει μόνον ἀλλὰ καὶ ἐς μείρακας παραγγείλας καὶ μέχρις ἂν γυναικὶ συνηρμόσθη.* Für Z. 63 vgl. Alex. I, 5, 12: *ὁ καῖσαρ Νικηφόρος εἰς τὴν τῶν Βρυεννίων σειρὰν ἀναγόμενος κτλ.* Für Z. 74 vgl. Alex. I 203, 18: *καὶ μάρτυρες τοῦ τοιούτου ἤθους εἰσί μοι πολλοὶ μὲν τῶν ἀνθρώπων, ἤδη δὲ καὶ πάντες.*

Aber diese Übereinstimmung beider Texte bezieht sich, wenn man genauer zusieht, doch mehr auf äußerliche, naheliegende Punkte und reicht nicht aus, um mit Evidenz ein direktes Abhängigkeitsverhältnis zwischen dem Prolog und der Alexias behaupten zu können.

Wer der von Anna erwähnte Verfasser des Prologs gewesen ist, können wir nicht bestimmen. Man könnte an Michael Italikos denken, welcher der Kaiserin Irene und ihrem Schwiegersohne Bryennios sehr nahe stand (vgl. M. Treu, B. Z. IV 9). Für seine Autorschaft scheint auch der Umstand zu sprechen, daß im Barocc. 131 der Text des Prologs direkt hinter der Perdixmonodie steht, die K. Horna unter dem Namen des Italikos herausgegeben hat (Einige unedierte Stücke des Manasses u. Italikos. Wien 1902, S. 19), und daß, wie derselbe Gelehrte nachgewiesen hat (B. Z. XIII 324[2]), die etwas später auf fol. 232[v] desselben Baroccianus stehende Weihnachtspredigt mit dem von einem Bologneser Codex ausdrücklich dem Italikos zugeschriebenen Texte identisch ist. Aber die Annahme, daß Mich. Italikos auf die in der Umgebung des Prologs stehenden und anscheinend unter einem gemeinsamen Titel zusammengefaßten Stücke des Barocc. 131 alleiniges oder auch nur hervorragendes Anrecht habe, muß als sehr zweifelhaft bezeichnet werden, wie folgende Darlegung zeigt. Hinter dem etwas unbestimmten Titel *Ἐπιστολαὶ καὶ λόγοι διάφοροι* oben auf fol. 228[v] steht zunächst ohne Überschrift eine Monodie auf den Sebastokrator Andronikos, den Sohn des Kaisers Alexios I, sodann eine Monodie auf Konst. Hagiotheodorites (vgl. B. Z. II 102) und darauf eine Rede an die Kaiserin Irene Dukaina, deren Verfasser sich im Texte als *ὁ Ἰταλός* bezeichnet. Dann folgt ein kurzer Brief mit dem Titel *Θεοδώρῳ τῷ Προδρόμῳ*, dessen trivialer Inhalt aber ganz unzweifelhaft Prodromos als Adressaten ausschließt. Der Brief enthält nämlich eine höchst elementare geographische Belehrung über Attaleia in Pamphylien, über das Taurosgebirge, Syrien usw., die unmöglich für den bekannten Polyhistor Prodromos berechnet gewesen sein kann.[1]) Auf diesen Brief folgt mit dem Vermerk *τοῦ αὐτοῦ* die Perdixmonodie, darauf unser Prolog und hinter ihm eine Monodie auf den Arzt Pantechnes, die mitten im Satze unten auf fol. 232 abbricht, doch so, daß noch

1) Wahrscheinlich ist also *Θεοδώρου τοῦ Προδρόμου* herzustellen, so daß der Brief die Antwort des Prodromos enthält auf eine, wie im Briefe angedeutet wird, vom Adressaten ausgegangene Anfrage. Und diese Anfrage hing wohl damit zusammen, daß die Stadt Attaleia, wo im J. 1142 schnell hintereinander die beiden ältesten Söhne des Kaisers Johannes starben, naturgemäß zeitweilig das Tagesgespräch der Hauptstadt bildete. Ist unsere Vermutung richtig, so würde die Notiz vor der Perdixmonodie (*τοῦ αὐτοῦ*) diese vielmehr dem Prodromos vindizieren.

ein freier Raum für 2—3 Worte übrig geblieben ist. Der Schreiber hat also die Fortsetzung nicht weiter abschreiben wollen oder, was wahrscheinlicher ist, wegen einer Lücke in seiner Vorlage nicht abschreiben können. Daran schließt sich (oben auf fol. 232^{v}) die Weihnachtspredigt des Italikos (anonym), weiterhin eine Monodie auf den Sebastokrator Andronikos II, den Sohn des Kaisers Johannes, und endlich Briefe des Simokattes. Bei dieser Lage der Dinge sind wir also durchaus nicht berechtigt, die im Barocc. 131 ohne ausdrücklichen Autorenvermerk überlieferten „Briefe und verschiedene Reden" als Werke eines Verfassers zu betrachten und bloß auf Grund der an vorletzter Stelle (hinter einer nachweislichen Lücke) stehenden Weihnachtspredigt ohne weiteres alles Michael Italikos zuzuschreiben. Doch kehren wir nach dieser Abschweifung zum Prolog des Testaments zurück. Als sein Verfasser könnte ebensogut wie Italikos auch Theod. Prodromos in Betracht kommen, dessen nahe Beziehungen zum Hause des Bryennios seine oben erwähnte Gratulationsschrift (vgl. p. 1397 C: *τίσιν ἄλλοις εἰ μὴ τοῖς κοινῇ τε πάντων καὶ ἡμῶν αὐτῶν ἰδίᾳ δεσπόταις καὶ εὐεργέταις εὐγνωμονοίημεν*;), sein metrisches Epitaph auf Theodora (s. oben 2) und andere Gelegenheitsgedichte beweisen, z. B. sein Bittgedicht an die Kaisarissa Anna (vgl. Migne *133*, 1071), das mit den Worten: *σοὶ γὰρ ἐγὼ βιότοιο ἑοῦ πρυμνήσι' ἀνῆψα* schließt. Natürlich ist es aber keineswegs ausgeschlossen, daß weder Italikos noch Prodromos, sondern irgend ein anderer Rhetor jener Zeit den Prolog verfaßt hat. Jedenfalls aber dürfen wir voraussetzen, daß der Verfasser, wer es auch immer gewesen sein mag, sich in allen Stücken im Sinne seiner Auftraggeberin ausgedrückt hat, so daß, was er sagt, uns als Ansicht der Prinzessin Anna selbst gelten muß.

Πρόλογος εἰς τὴν διάταξιν τῆς καισαρίσσης κυρᾶς Ἄννης, ὡς παρ' ἐκείνης ἐκδοθείς.

Θανάτου μεμνῆσθαι καὶ τίς οὐκ ἂν θείη τῶν ὠφελίμων, καὶ μάλιστα ἐπειδὰν πόρρω θανάτου δοκῶμεν ἑστάναι καὶ μήπω τι τῷ σώματι δεινὸν ἐνοχλῇ μηδὲ πυρετός τις ἢ νόσημά τι κακόηθες τοῦ τέλους τὴν ὑπόμνησιν δίδωσιν, οἷς πολλάκις προσημαινόμεθα θάνατον; τὴν γὰρ ἑαυτῶν τηνικαῦτα ἐπιγινώσκομεν φύσιν, ὅτι θνητὴ καὶ ἐπίκηρος καὶ διαπαντὸς διαρρέουσα. ἔνθέν τοι καὶ τὸ πρὸς τοῦτον σοφίζεσθαι σοφὸν εἰς ὑπερβολὴν καὶ παντάπασι συμφορώτατον· σοφιζοίμεθα δ' ἄν, εἰ,

---

Codex Baroccianus 131 fol. 231^{r}—231^{v}.

3 πυρετὸς τίς 6 ἔνθέν τι 7 συμφερώτατον

πρὶν ἐπισταίη, τὰ καθ' ἑαυτοὺς εὖ διαθείημεν, ἕως ὁ νοῦς ἐστιν ἐρρωμένος καὶ ἡ γλῶσσα μήπω παράφορος, ἕως μὴ καθάπερ κλέπτης ἐπεισπεσὼν θορυβοίη.

Ἔγωγέ τοι τοῦτον τὸν τρόπον τῆς οἰκονομίας ἀεὶ ἀποδεχομένη, Ἄννα πορφυρογέννητος, γραμμάτων οὐκ ἄμοιρος οὐδὲ γραφῶν ἀμε- fol. 231ᵛ λέτητος, ἀλλὰ πλεῖστα τὲ τοῖς θείοις λόγοις ἐμμελετήσασα καὶ μηδὲ τῆς θύραθεν παιδείας ἀπολειφθεῖσα, τόνδε τὸν πρὸ παντὸς τοῦ διατυπωτοῦ μου λόγον ἐκτίθημι· καὶ χάρις τοῖς βασιλεῦσιν ἐμοὶ καὶ γονεῦσι, μετὰ τῶν ἄλλων ἀγαθῶν μηδὲ τῶν λόγων με ἀποκλείσασιν, ἀλλ' ἀρύσασθαι τῆς πηγῆς ἐφεῖσιν, ὁπόσον βεβούλημαι. ἀλλ' ἐπειδὴ γονέων ἐμνήσθην, τοσοῦτον διδάσκω τὰ περὶ τούτων τοὺς ἐντυγχάνοντας τῇδε τῇ διατάξει μου (ἵνα μηδ' ἐν τοῖς ἐξοδίοις ῥήμασιν ἀμνημονεύτους καταλίποιμι τοὺς δεδωκότας τοῦ βίου τὴν πάροδον), ὅτι ὁ μὲν πατὴρ Ἀλέξιος ἦν ἐκεῖνος ὁ Κομνηνός, ὁ τοῦ ῥωμαϊκοῦ γένους περιφανέστατος βασιλεύς, οὗ τὰ τρόπαια καὶ κατὰ τῶν κύκλῳ βαρβάρων ἀριστεύματά τε καὶ στρατηγήματα οὐδὲ αὐτὸς ὁ κόσμος σύμπας χωρήσειε (κατὰ τὴν θείαν φάναι φωνήν)· Εἰρήνη δὲ μήτηρ, τὸ μέγα τῆς βασιλείας ἀγλάϊσμα, Δουκῶν μὲν ἐκφῦσα, πᾶσαν δὲ τὴν ὑπὸ τὸν ἥλιον γῆν ταῖς ἀρεταῖς καταστράψασα, πρὸς ἣν οὐδεὶς ἐν οὐδενὶ ἀνθρώπων ἐρίσειεν. ἀλλ' ὁ μὲν (φεῦ τῆς κοινῆς ζημίας καὶ τοῦ κατασχόντος πάθους τὴν οἰκουμένην) ἀπῆλθεν ἐνθένδε πρὸς οὐρανούς, τὴν οὐράνιον τῆς ἐπὶ γῆς ἀλλαξάμενος ἀλουργίδα· ἡ δὲ περιελείφθη τῷ βίῳ θαῦμα καὶ τύπος ἀρετῆς ἔμβιος. τοιοῦτοι μὲν οἱ τεκόντες ὡς ἐν βραχεῖ.

Ἐγὼ δὲ τὰ κατ' ἐμαυτὴν ἐκθέσθαι μέλλουσα πρότερον ἐκεῖνο πρὸς πᾶσαν τὴν ἀνθρωπίνην ἐξορχησαίμην, ἐπιμαρτυραμένη τὸν ἀλάθητον ὀφθαλμόν, ὡς λίαν ὑπερφιλουμένη τοῖς γονεῦσι καὶ αὐτοκράτορσι καὶ (τοῦτο δὴ τὸ τοῦ Σολομῶντος) ἐν προσώπῳ πατρὸς καὶ μητρὸς ἀγαπωμένη, οὐκ οἶδα ποτὲ τὸν ἅπαντα τοῦ βίου μοι χρόνον, ὃν τοῖς γονεῦσι συμβεβίωκα, παρακούσασα τῶν γονέων καὶ ἄλλό τι διαπραξαμένη περὶ τὸ τούτων θέλημά τε καὶ βούλημα, καθάπέρ τινες παῖδες τοκέων ὑπὸ τοῦ σφόδρα φιλεῖσθαι κολακευόμενοι περὶ τὰ τοῖς πατράσι δοκοῦντα ὡς τὰ πολλὰ διαπράττουσιν· ἀλλ' οὐδ' ἐμὸν τὸ παράπαν ἔσχηκε θέλημα, ὃ ⟨οὐ⟩ κἀκείνοις ἐδόκει, οὐδ' οὐκ ἤθελον, ὃ ἐδόκει, οὔτ' ἐν σπουδαῖς οὔτ' ἐν παιδιαῖς, οὔτε παιδάριον οὖσα οὔτε μείραξ οὔτε γυνὴ γεγονυῖα καὶ παίδων μήτηρ πολλῶν καὶ καλῶν ὑπάρξασα, πάσαις δὲ ταῖς ἐκ γενέσεως ἡλικίαις μέχρι τῆς δεῦρο τοῖς τούτων ἐφηρμόκειν

---

9 κλέπτης, vgl. 1. Thessal. 5, 2 11 ἔγω mit einem Abkürzungszeichen, das dem Zeichen für *γουν* in ἤγουν gleichkommt 12 vor Ἄννα ein kleines Loch, das schon vor der Schrift vorhanden war 14 προπαντὸς 24 Θ. φωνήν, Joh. 21, 25 28 τοῖς ἐπὶ γῆς 32 ἀνθρωπίνην (scil. φύσιν?) 34 Sprüche Salom. 5, 3 36 περὶ: viell. παρὰ? 43 τῆς (vor δεῦρο) korrig. aus τοῦ

θελήμασι καὶ (ὅπερ φησὶν ἐν εὐαγγελίοις ἐκεῖνος ὁ ἑκατόνταρχος) κελεύουσι τούτοις παρήμην καὶ πάλιν ἀπῆν ἐθελόντων, ὥσπερ σκιὰ συμπαρομαρτοῦσα τοῖς σώμασιν.

Ἐντεῦθεν δή μοι καὶ τὸ πρὸς τὸν βίον ἐπικλινές, πάλαι ποθούσῃ τὸν καθαρώτατόν τε καὶ ἄξυγα· πρὸς ἐκεῖνον γὰρ ἐπιρρεπῶς ἔχουσα, τοῦτον ἀντηλλαξάμην τοῦ κρείττονος καὶ σαρκὶ δεδούλευκα μὲν διὰ τὸ βούλημα τῶν τεκόντων, ὧν τὴν παρακοὴν θεοῦ παρακοὴν ἄντικρυς ἐτιθέμην καὶ νόμου θείου παράβασιν· ὑπηγάγετο δέ με πρὸς τοῦτο καὶ ἡ ἐμαυτῆς μὲν πρὸς τοὺς αὐτοκράτορας καὶ γονέας ξύμφυτος αἰδὼς καὶ ἀρρητοτάτη στοργή· πλέον δ' ἔτι καὶ μᾶλλον ἐπερρώννυε πρὸς τὴν ὑπακοὴν Ἰσαὰκ σφαττόμενος πειθοῖ τῇ πρὸς τὸν πατέρα καὶ Ἰακὼβ εὐλογούμενος ὑπὸ τοῦ πατρὸς διὰ τὴν πρὸς τὸν πατέρα εὐπείθειαν. τί γὰρ εὐλογίας πατρὸς τιμιώτερον, τί δὲ μητρὸς εὐχῆς μακαριώτερον ἄλλο, καὶ ταῦτα τούτων, τοσούτων καὶ τηλικούτων τὴν ἀρετὴν πεφυκότων, ὧν οὐδὲ αὐτὸς ὁ κόσμος ἀντάξιος;

Ἀλλ' οὐδὲ τῷ γάμῳ μεμφοίμην φίλην ἀζυγίαν μερισαμένῳ· καὶ γὰρ ἐντεῦθέν μοι τὰ κάλλιστα πάντα ξυμβέβηκεν, ἀνὴρ τῶν ὑφ' ἡλίῳ κρειττων τὲ καὶ θειότερος, ὅσους ὁ πάλαι χρόνος ἠνέγκατο, καὶ γένος καὶ ἀρετήν, καὶ σώματος καὶ ψυχῆς, εὐτετυχηκὼς ἐς τὰ μάλιστα, καῖσαρ Νικηφόρος καὶ τὴν σειρὰν τοῦ γένους ἀνάπτων ἐς Βρυεννίους, καὶ παῖδες κάλλιστοί τε καὶ ἄριστοι ἐξ ἑκατέρας τῆς φύσεως, ὧν οἱ μὲν τὴν ζωὴν μετηλλάχασι τὴν ἐπίκηρον, τοῦτο δόξαν θεῷ· οἱ δὲ περίεισιν ἔτι τῷ βίῳ καὶ περιείησάν τε, Χριστὲ βασιλεῦ, μετὰ τοῦ πατρὸς καίσαρος· καί με πρότερον τῇ γῇ παραδοῖεν, μηδὲ θεασαμένην, ὦ ἥλιε, μήτε τοῦ δεσπότου μου καίσαρος — ἀλλὰ πῶς καὶ φθεγξαίμην τὸ ἄτοπον; — μήτε μηδενὸς τῶν υἱέων, ὧν ἁπάντων ἐξήρτημαι τῆς ψυχῆς. εἰ δὲ τῶν ἐμῶν μεμνημένη τὰ ἐμαυτῆς ἐπαινῶ οἷον ἐπιδρομάδην, θαυμάζειν οὐ χρή· τῇ τε γὰρ φύσει τὸ εἰκὸς ἀποδίδωμι καὶ τῇ ἀρετῇ τὸ προσῆκον προσαποδίδωμι· ἐνταῦθα δὲ καὶ ἄμφω συνδεδραμήκατον· οὐ γὰρ μόνον οἰκεῖα τὰ ἐπαινεθέντα διαβραχέος, ἀλλὰ καὶ κάλλιστα· καὶ τούτων ἅπαντες μάρτυρες.

Ἐγὼ δὲ πρὸς τοὺς αὐτοκράτορας καὶ πάλιν ἀναδραμοῦμαι τῷ λόγῳ. πάντα μέν μοι ἐκεῖθεν ἐξῆπται, καὶ πνοὴ καὶ ζωὴ καὶ οὐσίωσις καὶ σώματος καὶ ψυχῆς· καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ πέπλοις χρυσοϋφέσι καὶ ἄλλως ἐκ σηρικῶν ὑφασμένοις καὶ μέντοι καὶ οἰκήμασι καὶ γηπέδοις καὶ (ἵνα νομικώτερον περὶ τούτων διαλαβοίμην) ὅση

---

44 ἐν εὐαγγ., Matth. 8, 9 47 ποθούσῃ korr. aus ποθοῦσι 53 στοργῆ. πλ. δέτι ἐπερρώνυε 54 πιθοῖ, vgl. Genes. 22, 2 ff. 55 Ἰακὼβ, vgl. Genes. 27 58 Hebr. 11, 38 61 θειότερον 62 εὐτετυχικὼς 63 βρυενίους 65 μετηλάχασι 73 διαβραχέως 77 vor καὶ χρυσῷ scheinen einige Worte ausgefallen zu sein

κινητὴ περιουσία καὶ ὅση ἀκίνητος καὶ ὁπόση τίς ἐστιν αὐτοκίνητος — πάντα ταῦτα τῆς τῶν γονέων χειρὸς ἐξαρτῶ καὶ λογίζομαι· περὶ ἧς αὐτίκα δὴ μάλα καὶ διαλήψεται τῆς οἰκονομίας ὁ παρὼν τῆς διατυπώσεως χάρτης· οὗ καθάπερ τινὰ προαφήγησιν τόνδε τὸν λόγον ἡμεῖς προετάξαμεν, ἐνδιαθήκως τὰ κατ' ἐμαυτὴν διοικοῦσα, μηδ' ἐν τούτῳ τῆς βασιλίδος καὶ μητρὸς παρακούσασα· ἐκείνης γὰρ βουλήσει καὶ αὖθις μὴ ἀντιπίπτουσα τὴν ἔννομον τήνδε διάταξιν ἔγνων μυστικώτερον ἐκτιθέναι κατὰ τόδε καιροῦ, ἐν ᾧ κἀκείνη προσέταττε· δηλώσει δὲ καὶ τὰ ἑξῆς ὁ ξύμπας τῆς διατυπώσεως λόγος.

80 85

4. Theodoros Prodromos und der Sebastokrator Isaak.

Zu den Gönnern des Prodromos gehörte auch, wie den hier edierten vier Texten zu entnehmen ist, der jüngste Sohn des Kaisers Alexios I, der Sebastokrator Isaak.

Isaak stand anfangs, im Gegensatz zu seinem älteren Bruder Andronikos, der mehr Annas ehrgeizige Pläne begünstigte (Zonar. 18, 24 ex.; Alex. II 282, 7 ff.), in einem sehr freundschaftlichen Verhältnis zu seinem Bruder Johannes und unterstützte ihn bei seiner Thronbesteigung nach Kräften, vgl. Niket. Chon. p. 10, 5; 13, 5—8: (*Ἰωάννης*) *Ἰσαακίῳ τῷ καισιγνήτῳ προστετηκὼς συμφυὴς καὶ ὁμόπνους ἐδείκνυτο, καὶ ὡς φιλοῦντι μὲν ὑπὲρ ἅπαντας, μάλιστα δ' ὡς τὰ πάντα ἢ τὰ πλείω εἰσενέγκαντι πρὸς τὴν ἐπίβασιν τῆς ἀρχῆς.*[1]) Dies brüderliche Verhältnis wurde aber bald aus Gründen, die wir nicht mit Sicherheit bestimmen können (Niket. p. 42, 20 spricht von einer *μικρολυπία*, d. h. einer ganz geringfügigen Ursache der Mißstimmung), gestört, und Isaak entschloß sich zu dem auffallenden Schritt, zusammen mit seinem älteren Sohne Johannes die Heimat zu verlassen und zum Sultan von Ikonion zu flüchten, wo er unablässig, wenn auch vergeblich, gegen seinen Bruder und sein Vaterland konspirierte (Niket. p. 42, 20—43, 13). Das Jahr, in dem Isaaks Flucht stattfand, ergibt sich aus dem bereits mehrfach zitierten Gedichte des Prodromos auf den Tod des Andronikos

81 *τοῖς τ. γ. χειρὸς*

1) Die darauf folgende Bemerkung, Johannes habe seinen Bruder der Ehren gewürdigt, auf die er als Sebastokrator Anspruch hatte, zu welcher Würde ihn bereits sein Vater Alexios erhoben hatte, steht im Widerstreit zur Behauptung bei Zonar. 18, 24, daß Alexios den Andronikos zum Sebastokrator, den Isaak aber zum Kaisar ernannt habe. Auch das nicht lange vor dem J. 1118 abgefaßte Typikon der Kaiserin Irene Dukaina gibt Isaak bloß den Titel eines Kaisar (Migne *127*, 1092 C). Deshalb scheint es richtiger zu sein, die Erteilung der Sebastokratorwürde an Isaak auf den Kaiser Johannes zurückzuführen.

(Migne *133*, 1069 A), wo erzählt wird, daß die Kaiserinmutter Irene nach vielen Todesfällen in ihrer Familie schließlich zu gleicher Zeit ihre beiden Söhne Andronikos und Isaak verloren habe, den ersteren durch den Tod, den letzteren durch seine freiwillige Flucht ins Ausland: *δοιοὺς γάρ τ' ἀπόλεσσας ἅμ' υἱέας, ἄγριε τελχίν, Ἀνδρονίκοιο βίην Ἰσαακίου δέ τε ῥώμην, οὗ μὲν ἐπ' ἀντολίης μακρὰ πείρατα πλαζομένοιο, ζωοῦ τεθνειῶτος, ἰοὺ βαρυσύμφορε μοῖρα, οὗ δ' ἄρ' ἐποιχομένοιο δύσιν σκοτόεσσαν Ἄϊδου* (V. 25—29). Für den Tod des Andronikos und damit auch die Flucht des Isaak haben wir oben (S. 86) das Jahr 1122 festgestellt.

Eine interessante Episode aus Isaaks Irrfahrten im Orient behandelt das jambische Gedicht des Prodromos, das unten an erster Stelle abgedruckt ist. Isaak hat nach vielen Gefahren und Schrecken, aus denen ihn aber Gottes Beistand glücklich errettet hat, Gelegenheit gehabt, auch das heilige Grab in Jerusalem und die übrigen Stätten des Heiligen Landes zu besuchen, und dort zum Besten der Pilger und zum Heile seiner eigenen Seele für das Kloster des Täufers Johannes am Jordan auf eigene Kosten eine Wasserleitung erbauen lassen, die aus der nach dem hl. Elisa benannten Quelle schönes klares Wasser über weite Strecken hin bis zum Kloster führt und dieses mit dem bis dahin entbehrten Trinkwasser versorgt. Prodromos hat den Auftrag zu diesem im Namen des Sebastokrator an den hl. Johannes gerichteten Gedichte, wie der Ausdruck *συνενδήμου πάλιν* im letzten Verse beweist, nach Isaaks Rückkehr ins Vaterland erhalten und seinerseits nicht ohne Geschick ausgeführt. Über das Kloster des Täufers Johannes vgl. V. Vasiljevskij, *Διήγησις Ἐπιφανίου*. St. Petersburg 1886, S. 237 und 240, über die Elisaquelle ebda. S. 221.

Von der Versöhnung zwischen Isaak und seinem kaiserlichen Bruder Johannes erzählt Niket. p. 43, 15—44, 6, daß der Kaiser den reuig zu ihm zurückkehrenden Bruder freudig empfangen und ihm ohne jeden Gedanken an Rache die alte brüderliche Liebe bewiesen habe. Die Zusammenkunft beider fand in Kleinasien statt bei der Rückkehr des Kaisers aus dem ersten Feldzug gegen Syrien, also gegen Ende des J. 1136 (vgl. oben S. 85). Als darauf der Kaiser mit seinem Bruder und dessen Sohn in die Hauptstadt einzog, habe das Volk die Großmut des Kaisers gerühmt und über die Heimkehr des Isaak nicht geringere Freude geäußert als über den erfochtenen Sieg.

Auch dies Ereignis hat Prodromos, wohl wieder im Auftrag seines Gönners Isaak, durch ein kleines jambisches Gedicht verherrlicht (vgl. unten Nr. B). Nach der etwas unklaren Überschrift soll es sich dabei um ein von Isaak bestelltes und für den kaiserlichen Bruder bestimmtes

Bild handeln. Aber aus dem Texte selbst ergibt sich vielmehr, daß Isaak bei einem Maler ein Bild seines Bruders für sich selbst bestellt hat, damit er wenigstens im Bilde seinen Bruder stets sehen und um sich haben könne, mit dem ihn von frühester Kindheit an die innigste Liebe und Eintracht verbunden habe, die leider zeitweilig vom Neide gestört, jetzt aber wieder in alter Weise hergestellt sei. Der Widerspruch zwischen der Überschrift und dem wirklichen Inhalte des Gedichts, der sich bisweilen auch sonst in byzantinischen Gedichten nachweisen läßt, erklärt sich einfach dadurch, daß die Überschrift gewöhnlich später vom Rubrikator hinzugefügt wurde, der dabei nicht immer mit der nötigen Aufmerksamkeit und Geschicklichkeit verfuhr.

Der jähzornige und zügellose Sinn des jungen Johannes, des älteren Sohnes des Sebastokrator Isaak, führte jedoch bald zu einem neuen Bruch. Im Feldzuge gegen die Seldschuken (am Sangarios) ließ er sich hinreißen, dem Befehl des Kaisers, sein Roß einem vornehmen fränkischen Ritter für die Schlacht abzutreten, mit dreisten Worten zu widersprechen; und nachdem er es doch widerwillig hatte tun müssen, bestieg er sofort ein anderes Pferd und ritt als Überläufer in das feindliche Lager, wo er als alter Bekannter mit Jubel empfangen wurde. Er blieb fortan bei den Türken (vgl. Migne 1349 AB), verleugnete bald darauf sogar seinen Christenglauben und heiratete eine Tochter des Sultans (Niket. p. 48, 3—49, 2). Aus einer späteren Notiz (Niket. p. 72, 8—12) läßt sich wohl entnehmen, daß er zur Zeit der Kämpfe Manuels um Ikonion im J. 1145 nicht mehr am Leben war, da es dort von seiner Gattin heißt: *συνῳκηκέναι ἐλέγετο τῷ ἐξαδέλφῳ τοῦ βασιλέως.*

Aber auch Isaak selbst muß in den letzten Lebensjahren des Kaisers Johannes sich wieder irgendwie in den Verdacht hochverräterischer Umtriebe gebracht haben. Kinnamos, der merkwürdigerweise vorher die Flucht und Heimkehr Isaaks vollständig mit Stillschweigen übergangen hat, erzählt, daß, während der Kaiser Manuel gleich nach dem Tode seines Vaters in Kilikien nach der Hauptstadt eilte, um sich den ihm vom Vater zugedachten Thron zu sichern, seine Anhänger daselbst in seinem Interesse bereits sowohl seinen Bruder Isaak als auch seinen Oheim Isaak gefangen gesetzt und so unschädlich gemacht hätten. Der letztere, also unser Sebastokrator Isaak, sei bereits vom Kaiser Johannes wegen hochverrätischer Umtriebe nach dem pontischen Herakleia verbannt, im übrigen aber mit aller Rücksicht (*οὐ ξὺν ἀτιμίᾳ*) behandelt, jetzt aber auf Beschluß der erwähnten Anhänger Manuels ins Gefängnis gesetzt worden. Manuel aber habe nach seiner Ankunft in der Hauptstadt sofort die Entlassung beider aus der Haft

verfügt und auch die von seinem Vater angeordnete Verbannung des älteren Isaak aufgehoben und ihm alles verziehen (Kinnamos p. 32, 8—22). Seitdem erfahren wir aus den byzantinischen Historikern der Komnenenzeit über diesen Sebastokrator Isaak nichts mehr.

Die nächste Nachricht über ihn bietet das im J. 1152 von ihm ausgestellte Typikon, von dem bereits oben (S. 74) die Rede war. Hinsichtlich der Angaben des Typikon über die Erbauung, Einrichtung und Ausstattung dieses im Flecken Beron (*Βηρών*) an der Mündung des Hebros gelegenen Klosters der Gottesmutter *ἡ Κοσμοσώτειρα* verweisen wir auf das Referat im Viz. Vremennik V 796 (vgl. B. Z. VIII 574) und heben hier bloß drei Punkte daraus hervor. Erstens die Mitteilung, daß, obwohl Isaak anfangs im Kloster *τῆς Χώρας* in Kpel, wo seine Eltern begraben lagen, auch für sich eine Grabstätte ins Auge gefaßt hatte, er jetzt davon absehe und einen Platz in der Klosterkirche in Beron zu seinem zukünftigen Grabe bestimme. Eine Bestätigung dieser Anordnung liefert Niketas Chon. p. 363, 7—11, indem er erzählt, der Kaiser Andronikos I (1183—1185), der jüngere Sohn Isaaks, dessen Schicksale und Abenteuer bekanntlich noch wechselvoller und romantischer waren, als die seines Vaters und seines Bruders, habe auch dem Grabe seines Vaters einst einen Besuch abgestattet: *κατὰ τὴν πατρῴαν ἀφικνεῖται μονὴν τὴν ἐν τῇ Βήρᾳ διακειμένην καὶ τῷ τοῦ φύσαντος ἐφίσταται μνήματι μετὰ δορυφορίας καὶ δόξης βασιλικῆς, ἧς κἀκεῖνος πάλαι ποτὲ ἐρῶν οὐκ ἐφίκετο, ἐπεὶ καὶ τὸ βασιλειᾶν πατρόθεν Ἀνδρόνικος ὡς κλῆρον καταβὰν διεδέξατο.* Sodann die leider nicht ausführlicher begründete Bemerkung Isaaks im Typikon über sein trauriges Geschick, das ihn den größeren Teil seines Lebens vom geliebten Vaterlande ferngehalten und ihm keinen Anteil vergönnt habe an dem Ruhme seines Geschlechts: *ἐπεὶ δέ με ζωῆς δυστυχοῦς ἡ εὐτέλεια ⟨ἀπὸ⟩ βρεφικῆς ἡλικίας ἐτιθηνήσατο καὶ τῇ φορᾷ τοῦ βίου τοῦδε τῆς δυσπραγίας καὶ ῥεύματι πατρίδος γλυκείας μοι τὸν πλείονα χρόνον τῆς ἐμῆς βιοτῆς ἀλλότριος γέγονα καὶ ξένος συγγενικῆς εὐκλείας κτλ.* (Kap. 34). Endlich der bemerkenswerte Hinweis Isaaks auf seine eigene literarische Tätigkeit. Bei Erwähnung der dem Kloster geschenkten Bibliothek, deren Katalog im Typikon mitgeteilt wird, sagt Isaak von sich: *συνέταξα βίβλον περιέχουσαν ἡρωικούς, ἰαμβικοὺς καὶ πολιτικοὺς στίχους ἐπιστολάς τε καὶ ἐκφράσεις* (Kap. 44).

Diese bisher ganz unbekannte Seite seiner Persönlichkeit bestätigen und beleuchten in weiterer Ausführung zwei Schriften des Prodromos, ein hexametrisches Loblied auf Isaak und ein langes ihm gewidmetes Enkomion in Prosa (vgl. unten Nr. C und D). In dem ersteren ruft der Dichter den Helios, dessen wachsames Auge jede Tat des irdischen

Geschlechts sehe, zum Zeugen auf und läßt ihn in ausführlicher Rede die Tugenden und Vorzüge des Sebastokrator preisen, dem von Gott alles Edle zumal verliehen sei, kaiserliche Abstammung, eine erlauchte Mutter, ein siegreicher kaiserlicher Bruder, eine dem Vater ähnliche Nachkommenschaft, alle Vorzüge des Körpers und Geistes, umfassende Bildung, die Kunst der Rede und poetisches Talent, dazu alle Künste des Kriegshandwerks und schließlich eine freigebige Hand. In dem mit allen rhetorischen Kunstgriffen ausgeführten Enkomion wiederum stellt der Redner sich den Gefeierten als auf einem Throne sitzend vor, umgeben einerseits von Ares mit seinem ganzen Kriegsgefolge, anderseits von allen Tugenden und Wissenschaften mit ihren Hauptvertretern, und läßt, da er selbst dem Lobe eines solchen Mannes nicht gewachsen sei, statt seiner die Philosophie vortreten und reden. Diese weist darauf hin, daß sie bisher immer von Ares verspottet worden sei; er habe von der gesamten Menschheit die Könige und Heerführer für sich in Anspruch genommen, ihr aber den Geldwechsler Diogenes und den Schiffsreeder Zeno zugewiesen. Ihre Entgegnung, daß doch Alexander der Große, der Römer Cato und der Kaiser Markos Antoninos neben ihrem Königs- oder Feldherrenamt sich auch mit der Philosophie beschäftigt hätten, habe Ares damit zurückgewiesen, daß dies in der Vorzeit geschehen sei und auch da nur in vereinzelten Fällen. So habe sie voll Scham schweigen müssen. Jetzt aber, wo sie zu ihrem Glücke den Sebastokrator, den Sprößling eines Kaiserhauses, stufenweise in alle Wissenschaften habe einführen und bis auf den Gipfel der Bildung führen können, sei dem verruchten Ares der Mund gestopft und ihre Lage eine völlig andere geworden. Jetzt könne im Hinblick auf den Sebastokrator sie sich rühmen, Ares aber müsse sich beschämt zurückziehen. Und das Wunderbare dabei sei, daß der Sebastokrator beides zu vereinigen wisse, die Pflege der Wissenschaft und den Dienst des Ares, und daß er auf beiden Gebieten das Höchste leiste. Das Enkomion ist jedenfalls nach der Versöhnung mit Kaiser Johannes im J. 1136 abgefaßt, wie Z. 200 ff. beweist: *ὄναιο ... τοῦ περιποθήτου αὐταδέλφου καὶ αὐτοκράτορος, ᾧ καὶ βρεφόθεν μὲν εἰς μίαν συνεκράθης ψυχὴν κἀν τῇ τῆς ἡλικίας αὔξῃ τὸν πόθον συνηύξανες καὶ πρὸς μικρὸν τοῦ φθόνου νικήσαντος αὖθις συνῆλθες καὶ συνερρώγεις, οὐχ ὑπομείνας τὴν ἐκ τούτου διάστασιν.* Das hexametrische Loblied gibt zur Bestimmung seiner Abfassungszeit keinen klaren Anhaltspunkt, fällt aber wohl in die nämliche Zeit.

Mag nun das von Prodromos der Gelehrsamkeit und den literarischen Studien des Isaak gespendete Lob noch so sehr übertrieben sein, in jedem Falle steht die Tatsache fest, daß neben seiner Schwester

Anna auch der Sebastokrator Isaak sich nicht, wie die übrigen männlichen und weiblichen Mitglieder des Komnenenhauses, auf die materielle Förderung der zu jener Zeit neu aufblühenden byzantinischen Wissenschaft und Literatur beschränkt, sondern sich auch persönlich auf diesem Gebiete zu betätigen Lust und Zeit gefunden hat (vgl. Z. 198: *ἐπιστατεῖν ποιήμασι καὶ φιλοσοφεῖν καὶ θεολογεῖν* und Z. 211: *ὅναιο τῶν βιβλίων καὶ τῆς περὶ ταῦτα σεμνῆς ἀσχολίας*). Und wenn wir uns darnach umsehen, so ergibt sich, daß einige seiner schriftstellerischen Arbeiten auch noch erhalten sind. Da sind zunächst drei kleine, wie es in einer von ihnen heißt, „aus verschiedenen alten Quellen mit vieler Mühe zusammengetragene" Schriften zu Homer, die in den Hss einem Isaak Porphyrogennetos, resp. einem Porphyrogennetos schlechthin, zugeschrieben werden. In der ersten werden die von Homer übergangenen Ereignisse beim Untergang Trojas erzählt; in der zweiten wird eine genaue Personalbeschreibung aller Helden, die am trojanischen Kriege auf beiden Seiten beteiligt waren, gegeben; in der dritten wird eine durch ein selbständiges Proömium eingeleitete Hypothesis des Homer im engsten Anschluß an die pseudo-plutarchische Schrift De vita et poesi Homeri geliefert (vgl. GBL² § 218). Gewöhnlich nimmt man allerdings an, daß ihr Verfasser der Komnene Isaak gewesen sei, der 1057—1059 den byzantinischen Kaiserthron inne hatte und sich dann freiwillig ins Kloster zurückzog. Aber erstens war dieser Isaak nicht purpurgeboren, und zweitens wird er zwar als tapferer General gerühmt, von einer gelehrten Bildung und literarischen Interessen des Mannes wissen aber unsere Quellen nichts zu berichten. Der Verfasser ist vielmehr, wie schon Fabricius in seiner Bibliotheca graeca es richtig darstellt, Isaak, der Sohn des Kaisers Alexios I.[1]) Ferner findet sich in zwei Jerusalemer Hss, die im Metochion des hl. Grabes zu Kpel aufbewahrt werden (vgl. A. Papadopulos-Kerameus, *Ἱεροσολ. Βιβλιοθήκη* IV S. 55 und 106), mit dem Namen des Sebastokrator Isaak ein sehr umfangreiches Werk unter dem Titel *Περὶ προνοίας ἀπορημάτων*, wie es scheint, in politischen Versen; sein Anfang lautet: *Εἰ πάντων ἐστὶ* (l. *ἔστι*) *πρόνοια*. Auch dies Werk können wir ohne Bedenken dem Sohne des Kaisers Alexios vindizieren. Endlich hat jüngst Th. Uspenskij in der Serailbibliothek in Kpel eine mit zahlreichen Miniaturen geschmückte Oktateuchhandschrift gefunden, an deren Spitze eine Paraphrase des Aristeasbriefes steht; als Verfasser dieser Paraphrase wird „. . . . Sohn des Kaisers Alexios Komnenos" genannt. Der eigentliche Name ist infolge von Feuchtigkeit nicht mehr zu lesen, wird aber

1) Dieselbe Vermutung äußert Papadimitriu.

von Uspenskij mit Recht auf den Sebastokrator Isaak bezogen (vgl. B. Z. XIV 671).

So wird denn auf Grund der hier zusammengestellten Notizen und namentlich des von Prodromos verfaßten Enkomion fortan an Stelle des Kaisers Isaak Komnenos dem Sebastokrator Isaak dem Älteren in der Geschichte der byzantinischen Literatur ein bescheidener Platz eingeräumt werden müssen.

A.

⟨Θεοδώρου τοῦ Προδρόμου⟩

Ὡς ἀπὸ τοῦ πορφυρογεννήτου κυροῦ Ἰσαακίου τοῦ Κομνηνοῦ.

Πολλοῖς παλαίσας κινδύνοις, φόβοις, φόνοις,
ζάλαις, ἀνάγκαις, συμφοραῖς, ληστηρίοις,
πάντων δὲ ῥυσθεὶς τῇ θεοῦ συμμαχίᾳ
καὶ προσκυνήσας τὸν σεβάσμιον τάφον
καὶ πάντας ἁπλῶς τοὺς ἐκεῖ θείους τόπους,
Ἰορδάνου δὲ ταῖς ῥοαῖς λελουμένος
καὶ τῆς ἐν αὐτῷ σῆς μονῆς τὸ χωρίον,
ὦ λύχνε, φωνή, στρατιῶτα καὶ φίλε,
φωτός, λόγου, μέδοντος, ἀγνοῦ νυμφίου,
διψηλὸν εὑρὼν ὡς τὸ Λιβύης πέδον,
ὡς καὶ δοκεῖν τὸ καῦσος αὐτοῦ καὶ πνίγος
τῶν χαλδαϊκῶν ἀνθράκων εἶναι μέρος
καὶ τοῦ πυρὸς τὸ λάβρον ὡς Αἴτνης φλόγα,
πέπονθα κἀγὼ δίψαν εὐλογωτάτην,
ἵαμα δίψης προσπορίσαι τῷ τόπῳ·
καὶ μᾶλλον, ὡς ἔβλεψα πολλοὺς τῷ τότε
αὐτὴν ἐρυγγάνοντας ὥσπερ καρδίαν
ἐκ τῶν φλογωδῶν τοῦ τόπου πυρεκβόλων,
ᾤκτειρα τὴν σύμφυλον ἀνθρώπων φύσιν
καὶ ζῆλον ἔσχον ἔμπυρον τῇ καρδίᾳ
τοῦ τὴν ἄνυδρον ὑδραγωγῆσαι τέως.
ὁ ζῆλος οὗτος τῶν ἐμῶν σῆς ὀστέων,

Codex Palat. gr. 43 fol. 91—91^{v} = *P*
Codex Neapol. II D 4 fol. 92^{v}—93 = *N* (nach einer Kollation von Dr. K. Horna)
Codex Ottobon. 324 fol. 173^{v}—174^{v} = *O* (desgl.)

Lemma: . . . *ομνηνοῦ P* $\overset{\tau/}{\pi}\varphi\tilde{\upsilon}$ *N* 1 *φόνοις φόβοις N* 3 *παντ . . δε ρυσθεὶς P* 10 *καὶ ψιλὸν εὑρὼν N* 11 *πνῖγος O* 12 vgl. Daniel 3, 19 13 *λαῦρ*^{o} *N λᾶβρον O* 18 . . . *φλ . . . δῶν τοῦ P* 22 *σῆς ὀστ.* Prov. 14, 30

ὁ ζῆλος οὗτος τῶν ἐμῶν πῦρ ἐγκάτων.
περιδραμὼν οὖν τῆς ἐρήμου τὰ πλάτη
μόγις μὲν ἀλλ' εὕρηκα πηγαίαν χύσιν,
ἐλισσαϊκὴν προσφυῶς καλουμένην,
ὑμηττίων δὲ ῥευμάτων γλυκυτέραν·
ἣν καὶ μετωχέτευσα πολλῇ δαπάνῃ,
οὐ τοῖς περιττοῖς, ἀλλ' ἀφ' ὑστερημάτων,
πολλοὺς ἀνάντεις καὶ κατωρόπους τόπους
τοὺς μὲν κατάξας τούς δ' ἀνυψώσας πάλιν,
ὡς ἂν τὸ ῥεῖθρον εὐοδώτερον ῥέον
ἔσωθεν εἰσρεῖ τῆς καλῆς ὑδρηδόχου,
ἣν αὐτὸς ἐντὸς τῆς μονῆς ἐδειμάμην,
καίτοι πλανήτης χρηματίζων καὶ ξένος,
τὸ πορφύρας γέννημα τῆς ἐπιφθόνου
καὶ τῶν κραταιῶν τέκνον αὐτοκρατόρων,
ὡς ἂν ἔχοιεν τῶν ὁδιτῶν τὰ στίφη
ἴαμα τοῦ τρύχοντος ἐκ δίψης πνίγους
καὶ τῆς ἐκεῖθεν δυστυχοῦς δυσποτμίας·
ἀνθ' ὧν, δυσωπῶ, τὴν ἐκεῖ φύγω φλόγα,
μὴ δακτύλῳ ψύχουσαν αἰτήσω δρόσον,
ὕδωρ γένωμαι τῇ θεοῦ πόσει πρέπον,
δεξαμενὴν τὸν κόλπον Ἀβραὰμ λάχω
λιταῖς πανάγνοις τῆς πανάγνου παρθένου
καὶ σαῖς σὺν αὐτῇ, ναί, προφητῶν ἀκρέμον.
Αὐτός δ' ὁ τούτων ἐκροφῶν τῶν ὑδάτων
καὶ τὸ φλογῶδες ψύχος ἀποφυγγάνων
ἢ καὶ δροσίζων τοὺς φρυγέντας δακτύλους
καὶ τὴν παρειὰν εἰ δοκεῖ περιπλύνων
καὶ ψυχαγωγῶν τοῦ προσώπου τὴν φλόγα
ἐξιλεοῦ μοι σαῖς λιταῖς τὸν δεσπότην
κοινῇ μετ' αὐτοῦ τοῦ συνεκδήμου τέκνου
καὶ συμπλανήτου καὶ συνενδήμου πάλιν.

---

23 vgl. Ps. 78, 5 25 μόλις *N* 26 ἕως ὧδε am Rande *O* 27 . μηττίων *P* ὑμητίων *O* 28 μετοχέτευσα *O* 32 εὐωδότερον *N* εὐοδότερον *O* 35 πλανίτης *O* 39 τρίχοντος ἐκ δίψους *O* 40 δυστυχῶς *O* 41 φύγω (darüber γεῖν) *O* 42 δακτ. vgl. Luc. 16, 24 43 γένομαι τοῦ θεοῦ *O* 44 δεξαμένην τὸν^{ω} κόλπον^{ω} *O* 46 αὐταῖς *N* ἀκρέμων *O* 48 φλογῶδες δίψος *O* 49—54 fehlen *O* 51 ψυχαγωγὼν *N* 54 συνεκδήμου (doch ist am κ herumkorriggiert) *N*.

B.

⟨Θεοδώρου τοῦ Προδρόμου⟩

Ἐπίγραμμα εἰς γραφὴν γραφεῖσαν τῷ βασιλεῖ κυρῷ Ἰωάννῃ τῷ Κομνηνῷ παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ κυροῦ Ἰσαακίου.

Ἥνωσεν ἡμᾶς καὶ σπορὰ πατρὸς μία,
ἔμιξεν ἡμᾶς καὶ γονὴ μητρὸς μία·
συνῆψεν ἡμᾶς ἐκ τοκάδων πορφύρα,
ἄναξ ἀδελφέ, καὶ παρ' αὐτοῖς σπαργάνοις
ἅμφω συνεκράθημεν εἰς ψυχὴν μίαν·
ηὐξάνομεν· συνηῦξεν ἡμῖν ἡ σχέσις·
εἰς ἄνδρας ἦμεν· καὶ συνήνδρωτο πλέον,
ὡς ἐκ μικροῦ σπινθῆρος εἰς δαλὸν μέγα,
ἐκ τοῦ δαλοῦ δὲ πρὸς κάμινον ἠρμένη.
ἀλλ' ὢ τύχης κύλινδρος, ὢ τροχὸς βίου, fol. 123ᵛ
εἴληφεν ἰσχὺν καὶ καθ' ἡμῶν ὁ φθόνος
καὶ φεῦ διεῖλε τὴν βίου συμψυχίαν.
ἐπεὶ δὲ νικήσαντος ὡς χρὴ τοῦ πόθου
εἰς ἓν συνερρώγειμεν αὖθις οἱ δύο
καί σε σφαδάζω συνεχῶς ἀεὶ βλέπειν,
ἀμήχανον δὲ τοῦτο τῇ θνητῇ φύσει
τόποις μεριστῇ τυγχανούσῃ καὶ χρόνοις
καὶ τῶν τυχηρῶν πραγμάτων τοῖς εὐρίποις,
στηλῶ σε καὶ γράφω σε χειρὶ ζωγράφου,
ὃν ἐν μέσῃ γέγραφα πρὶν τῇ καρδίᾳ,
ὡς ἂν ἀεὶ βλέπω σε καὶ σύνειμί σοι
καὶ ψυχαγωγῶ καὶ πλανῶ μου τὸν πόθον,
ὡς πρωτοτύποις ἐντρανίζων τοῖς τύποις.
γένοιτό μοι τοσήδε πρὸς θεοῦ χάρις,
ὅσην ἐγώ σοι, βασιλεῦ, τρέφω σχέσιν.

Codex Vaticanus 1882 fol. 123—123ᵛ (nach einer Abschrift von Dr. K. Horna).

Lemma: *τοῦ αὐτοῦ* (vorangeht das Gedicht des Prodr. *εἰς τὸν Βαρέα*) 3 *ἐκ τοκετῶν* 7 *συνηνδρῶ τὸ πλέον* 10 vgl. Klagelied der Sebastokratorissa Irene v. 365 Gedeon 14 *συνερρώγημεν* 17 *μεριστὴ*.

C.

⟨Θεοδώρου τοῦ Προδρόμου⟩

Εἰς τὸν πορφυρογέννητον καὶ σεβαστοκράτορα κυρὸν Ἰσαάκιον τὸν Κομνηνόν.

Ἥλιε ἀστεράναξ, φαεσίμβροτε γίγαν ἀκάμα,
ὄρφνης ἐννυχίης τε καὶ ἠματίης πάτερ αἴγλης,
ὃς φλογέων ὀχέων ἐπιάλμενος ἠνιοχεύεις
οἶμον ἐπ' οὐρανίην, χρυσῆν περι μάστιγα σείων·
ναὶ σέ γαρ οὔ τι λέληθε ῥέγμα χθονίοιο γενέθλης,
ὄμμα πέλοντα πέλωρον, ὕπνου ὑπ' ἄδμητον ἀνάγκης·
ἦν τινά που μερόπων ἀπὸ πασάων ἀρετάων
στέμματ' ἔειδες ἔχοντα καὶ ἀμφὶ κάρηφι φορεῦντα,
ἴδριν μὲν σοφίης πολυχανδέος, εὔλογον, εὔνουν,
γραμματικήν τ' ἰδὲ μέτρα πολύτροπα θεσμά τε ῥήτρης
καὶ λογικὴν φυσικήν τε μαθηματικήν τ' ἐπὶ τῆσι
πᾶσαν ἀκριβώσαντα μεγαφροσύνῃσι νόοιο,
πτηνοφυᾶ, μεγάβουλον, ἀγάφρονα, θεῖον ἰδέσθαι,
βασιλικόν, μεγάδωρον, ἀμύμονα δώτορ' ἐάων,
ἡδυβόαν τὲ φάναι καὶ ἀκοῦσαι ἤπιον ἄνδρα,
ἰδρὶν δὲ πτολέμοιο καὶ ὀκρυόεντος ἰωκῆς,
πρηστῆρ' ἀντιβίοισι κεραυνοβόλον κατὰ χάρμην,
θούριον, ὀμβριμόχειρα, φίλης ἀκόρητον ἐνυοῦς
τόξῳ θ' ἱπποσύνῃ τε κεκασμένον ἠδέ τε δουρί,
υἱέα καρτερόθυμον ὑπερμενέων βασιλήων
καὶ κρατεροῦ μεδέοντος ἀδελφεὸν ἐθνεσιφόντου
καὶ βριαρῶν τεκέων βριαρώτερον αὖ γενετῆρα·
ἦν τινα τοῖσιν ἔειδες ἁπάντεσι κάλλιμον ἄνδρα,
ἀτρεκέως ἀγόρευσον, ἀγάδρομε, μηδ' ἐπικεύσῃς.
«Οὔ, μὰ τόν» ὄμνυσ' ὕπερθεν — ἀλαθέα δ' ὄμνυσι πάντως —
«οὐ τοῖον πότ' ἔειδον ἀπ' ἀρχεγόνων λυκαβάντων
παντοίαις χαρίτεσσι περιστεφέα βροτὸν ἄνδρα,
ἄτερ Ἀλεξιάδαο Ἰσαακίου κλυτοβούλου·

Cod. Palat. gr. 43 fol. 91ᵛ—92 = *P*

Cod. Neap. II D 4 fol. 91ᵛ—92ᵛ = *N* (nach einer Kollation von Dr. K. Horna).

Lemma: *πφϋτ N σεβαστροκράτορα N* 3 *ἐπὶ ἅλματος N* 4 *οἶμον P χρ . . ἦν περι P περι μάλιστα N* 5 *ναι σ. γ . . . . . θε ρέγμα P* 6 *ομμ . . πέλλοντ . P αδμητον αν . γκ . . P ὄμματα N* 7 *. . . ροπ . . . . . ων . ρετάων P* 8 *στίγματ' ἔειδες N ἔχ . . . . καὶ P* 11 *τε ἐπὶ τοῖσι N* 12 *μεγαλοφροσύνησι N* 15 *τὲ* fehlt *N* 16 *ἴδριν τὲ N ὀκρ . . . τος P* 17 *πτηστῆρ' N* 18 *ἀκόρ . . . . ̃. P εὐννοῦς N* 22 *αὖ* fehlt *N* 24 *μὴ δὲ N ἐπι . εύσ . . P* 25 *ὄμνησι πάντως* (korr. aus *πάντα*) *N* 26 *ἀπαρχεγόνων N* 27 *περιστροφέα PN*

τῷ γὰρ ὅπασσεν ἅπαντα θεὸς μέγας ἄμυδις ἐσθλά·
ὤπασε μὲν γενέτην βασιλεύτατον ἔξοχον ἄλλων,
ὤπασε καὶ γενέτειραν ἀριστοτόκειαν ἀγανὴν
καὶ κασίγνητον ἄνακτα μεγήνορα μυριονίκην,
πόρσυνε πορφυρόθεν δὲ βίου πολυανθέα ῥίζαν
καὶ μὲν ἐνὶ μελέεσσι βίην θέτο καὶ μένος ἠύ,
γούνασι δ' ὠκυτῆτα χαρίσσατο, χερσί δε κάρτος·
ὤπασε δ' εὐφυΐην τε νόον τε μέγαν βαθύβουλον,
πρόσθετο καὶ σοφίην δ' ἐρικυδέα ἀρχεσίτεχνον,
δήνεα ῥητροσύνης τε μνήσατο γραμματικῆς τε
Καλλιόπης τε μέτροιο πολύτροπον ὑψαγορίην·
τοῖς δ' ἐπὶ καὶ πτολέμοιο δαημοσύνην πόρε κεδνήν,
ἵππου ἀρραβίου ἐπιβήμεναι ὁπλοδυτεῦντα,
δουριφόρον γυάλου μετὰ θώρακος, Ἄρεος υἷιν,
στήμεναι ἀντιμέτωπον ἐναντιβίοις μενεχάρμαις,
δουρατίσαι, σπάθηφι κατὰ χθονὸς ἀνέρα πέμψαι,
ἐλλοχίσαι τε τάφρον τε περίδρομον ἀμφιδομῆσαι
χωστρίσι τ' ἀντιβίων τεῖχος κλονέσαι μεγάπυργον.
ταῦτα τὲ γοῦν ὀπάσασκε καὶ εὐστομίην ἐπὶ τοῖσι,
πόρσυνε καλλιφάτηρα, ἐν ἤθεσι κάσσε δε κεδνοῖς,
πρόσθετο δ' εὐτοκίην ἐναλίγκιον ᾧ γενετῆρι
καί τε χέρα βρυσίδωρον ἑΰρροον ὠκεανείην,
πᾶσιν ὁμοῦ στεφάνοισιν ἐπιστεφάνωσ' ἀρετάων·
τόνδ' ἐγὼ οἷον ἔειδον ἅπασῶν ἐξ ἀρετάων
στέμματα χρύσε' ἔχοντα καὶ ἀμφὶ κάρηφι φορεῦντα.»
ταῦτά σοι, Ἰσαάκιε, τέκος μεγάλων βασιλήων,
μαρτύρετ' ἠελίοιο ἀγνὸν σέλας αἰθερόθεν πρό,
ὅμνυσι νέρθε δὲ γαῖα· καὶ ἀτρεκέες γέ μεν ὅρκοι
ἠελίου τε γίγαντος καὶ βροτομήτορος αἴης.
τίς τοίνυν χθονίων σε λιγήνεται, ὃν μέγας ἀστὴρ
τοῖα λιγήναθ' ὕπερθε; τάχ' ἄξιον οὔτις ἐνίσπῃ
σῆς μεγαλοφροσύνης, Ἰσαάκιε, σῶν τ' ἀρετάων,
οὐδ' εἴ κεν δεκάγλωσσος ἔοι καὶ ὀλύμπια βάζοι.

---

29 ὤπασεν *N* 30 ἄ . . ων *P* 35 χαρίσατο *N* 38 ῥητορσύνης *PN* 42 δαϊφόρον (korr. aus δοριφ.) *N* viell. νῖνν? 45 ἐλλοχέ . . . τε *P* ἐλλοχεύσαι *N* 46 κλονεῦσαι *N* 47 τὲ fehlt *N* 48 καλλιφάτειραν *P* καλλιφάτειρα *N* κασσε κεδναῖς *N* 49 ἐναλίγγιον *PN* 50 ἑύροον *N* ὠκεανείη . *P* 52 οἷον *N* ἁπασάων *PN* 55 ἠελίοιο (korr. aus ἡλίοιο) *PN* ἠθερόθεν *N* 56 καὶ .'. ρεκέες *P* 58 σε χθονίων λιγήνεται *N* 59 λιγήνατ' *N* ἐνείσπη *P* ἐνείπη *N* 60 σῆς φιλοφροσύνης *N* 61 βάζει *P* βάζῃ (korr. aus -ει) *N*.

D.

⟨Θεοδώρου τοῦ Προδρόμου⟩

Λόγος εἰς τὸν πορφυρογέννητον κυρὸν Ἰσαάκιον τὸν Κομνηνόν.

Οὐ φθάνω σοι τοῦ ἐγκωμίου καρποφορῶν τὸ προοίμιον, ἄγαλμά μοι σοφίας, ἥρως πορφυρογέννητε, καὶ λαμπρὰς αὐτόθεν ἀντιλαμβάνω τῆς καρποφορίας τὰς ἀντιδόσεις. οὐ φθάνω σοι τὴν πρώτην κρηπῖδα τοῦ εὐφημητηρίου πηγνύμενος, καὶ ὀροφοῖς μοι τὴν ἀμοιβὴν ὡς μεγαλοπρεπῆ καὶ βασίλειον. οὔπω τὴν βαλβῖδα τοῦ λόγου διασχίσας ἄρχομαι δρόμου, καὶ ὁλοκλήρους τοὺς στεφάνους τῆς νίκης κομίζομαι. καὶ τί γὰρ ἂν τις τοσοῦτον εὐτυχήσοι ποτὲ καὶ τίνα τηλικαύτην εὐδαιμονίαν εὐδαιμονήσειεν ἢ τοιαύτας αὐτῷ τοῦ λόγου τὰς ἀφορμὰς ἐνιστῶν, ὡς μὲν μειδιώσας καὶ ἱλαράς, ὡς δὲ ὑψηλὰς καὶ εἰς αὐτὴν ἐπελαφριζομένας τὴν ἄναστρον, καὶ οὐ μᾶλλον τοῖς λόγοις ἐξευγενίζων τὸν ἐπαινούμενον ἢ ἐκείνῳ τοὺς λόγους καὶ ἑαυτόν, καὶ τῆς ἐκεῖθεν μεταλαμβάνων ἢ τῆς οἰκείας μεταδιδοὺς ἀρετῆς· καθάπερ γὰρ ἡ τοῦ μύρου φύσις οὐχ ἑαυτῆς ἄχρι μόνης τὸ εὐῶδες ἵστησιν, ἀλλὰ καὶ τοῖς ὑποδεχομένοις τῶν σκευῶν μεταδίδωσιν, οὕτως ἀμέλει καὶ τῶν ψυχῶν εὐγενεῖς καὶ φιλόσοφοι μεταδιδοῦσι τοῦ σφετέρου καλοῦ καὶ τοῖς αὐτῶν ὀπηοῦν μνημονεύουσιν.

Ἐγὼ μὲν οὕτω τὸν παρόντα λόγον μεγαυχοῦμαι καὶ τῷ ὕψει τῆς ὑποθέσεως συμμετεωρίζομαι, τῆς ἐμῆς οὐθενείας ὥσπερ ἐπιλαθόμενος, καὶ ὑπεραναβαίνω μὲν τὴν γῆν, ὑπερίπταμαι δὲ τὸ τοῦ ἀέρος χῦμα βασιλικοῖς πτεροῖς καὶ χρυσοῖς ἀλλ' οὐχὶ κηρίνοις καὶ μυθικοῖς· καὶ διασχὼν τὴν τοῦ ἀέρος λεπτομέρειαν μετὰ τοῦ ἡλίου γίνομαι καὶ τῶν ἄστρων καὶ οὐδὲ μέχρι τούτων ἵστῶ τὴν ἀναδρομήν, ἀλλὰ καὶ αὐτῆς τῆς ἀπλανοῦς καὶ πρώτης ὑπερκαθέζομαι καὶ περιφρονῶ τὸ κάτω βρίθος καὶ πᾶσαν τὴν περιχθόνιον ταπεινότητα καὶ οὐδενὶ τῶν ἁπάντων ἀμιλλᾶσθαί μοι παραχωρῶ τῆς ἀνόδου καὶ τῆς πτερύξεως, εἰ μή μοι Παῦλον εἴποις τὸν ἄχρι καὶ ἐπὶ τρίτον οὐρανὸν ἁρπαγέντα καὶ τὸν τρόπον τῆς ἁρπαγῆς ἀγνοήσαντα. ἐγὼ μὲν οὖν, ὅπερ ἔφην, ὁ ἐπαινέτης οὕτω σεμνολογοῦμαι τὸν ἔπαινον καὶ μετὰ τοιαύτης τῆς ὑψηλολογίας ἔρχομαι πρὸς αὐτόν· τί δὲ σύ, ὦ πορφύρας ἄνθος καὶ μέλημα μὲν λόγων, αὔχημα δὲ εὐγενείας, καλλώπισμα δὲ ἀνδρείας καὶ βασιλέων μεγαλουργὲ ἀπόγονέ τε καὶ σύγγονε; τί διανοήσῃ περὶ ἡμῶν καὶ πῶς διατεθήσῃ πρὸς τὸ ἐγκώμιον;

Ἆρα δυσχερανεῖς τὸν λόγον, πρὸς τὸ μικροπρεπὲς ἀντιβλεπτήσας | τοῦ λέγοντος καὶ ῥύπον εἶναί σοι τοῦ μακαρίου τὴν ἐκ τοιούτων εὐφημίαν ὑπονοήσεις καὶ ὕφεσιν τῆς δόξης καὶ τῆς λαμπρότητος; fol. 48

Codex Vaticanus gr. 306 fol. 47ᵛ—50.

Lemma: τοῦ αὐτοῦ 8 αὐτῷ 13 τῆς ὑποδεχομένης 16 viell. μεγαλαυχοῦμαι? vgl. Z. 182 20 τὴν τοῦ πυρὸς λ. 24 2. Kor. 12, 2

μηδαμῶς γε, ὦ Θεσπέσιε, μηδαμῶς· ἔχει γὰρ οὕτως· τὰ μὲν πράγματα ἐπὶ τῶν οἰκείων ἑστᾶσι φύσεών τε καὶ καταστάσεων καὶ οὐδεμίαν οὐδέπω παρὰ τοὺς λόγους καινοτομίαν ὑφίστανται, ἀλλ' ἐπὶ ταὐτοῦ διαμένουσι, κἂν μεγαλολογῶνται, κἂν τοὐναντίον ἅπαν μικρολογῶνται· ὁ μέντοι λέγων συνδιατίθεταί πως τοῖς πράγμασι καὶ ἢ τοῖς ὑψηλοῖς συμμετεωρίζεται ἢ συμμετριάζει τοῖς ταπεινοῖς· οὐ μέγας ὁ οὐρανὸς καὶ καλός; καὶ πάνυ μὲν οὖν· καὶ πῶς γὰρ οὐ καλός, εἰ τοῖς οἰκείοις ἐνεοῖς μόνως κέκραται μέρεσι καὶ μουσικῶς ὡς ἐπίπαν αὐτοῖς κατερρύθμισται; πῶς δὲ οὐ μέγας, εἰ τόδε τὸ πᾶν ἐν ἑαυτῷ περισφίγξας συνάγει καὶ σπαργανοῖ καὶ πᾶσαν οὐσίαν, ὅση τε τῇ φύσει διοικεῖται μόνῃ καὶ ὅση τῇ ζωῇ μετὰ φύσεως, ἔτι δὲ ὁπόση τῷ νῷ μετὰ ζωῆς οἰκονομεῖται καὶ φύσεως, συνέχει καὶ ἀγκαλίζεται; μέγας μὲν οὖν ὡς ὄντως ὁ οὐρανὸς καὶ οὐκ ἔστιν ὃς τὸν οὐρανὸν εἰπὼν οὐκ εὐθὺς τὸν μέγαν ἐπήνεγκεν ἢ μὴ ἐπενεγκὼν οὐκ ἀσεβεῖν περὶ τὸ τηλικοῦτον ἔδοξε χρῆμα· ἀλλὰ τὸν τοσοῦτον τῷ μεγέθει καὶ τῷ ὄγκῳ τοῦ ἀξιώματος σφαιριδίοις μικροῖς ἐμπεριγράφουσιν ἄνθρωποι, ἢ ἐν λίθῳ λαξεύσαντες ἢ ἐν χαλκοῦ καὶ σιδήρου φύσει σφυρηλατήσαντες, καὶ τὸν μὲν λίθον ἢ τὸν χαλκὸν ἐσέμνυναν τῷ ποιήματι, τοῦ δ' οὐρανοῦ τὸ μέγεθος οὐκ ἐσμίκρυναν. οὐ μέγας ὁ σύμπας ὄγκος τῆς γῆς, ὅση τε ταῖς ἠπείροις ⟨καὶ⟩ ὁπόση ταῖς νήσοις ἀπονενέμηται; ἀλλὰ καὶ ταύτην κεντροποιοῦμεν καὶ τῷ ἀμερεῖ ἐμφερῆ σημείῳ τιθέμεθα· τί οὖν; ἀμερὴς παρὰ τοῦτο καὶ ἀδιάστατος ἡ μέχρι μὲν ἀμέτρων πλέθρων εἰς μῆκος ἐκτεταμένη, μέχρι δὲ παμμυρίων σταδίων εἰς πλάτος εὐρυνομένη καὶ τῷ βαθυρρόῳ κατὰ τὸν εἰπόντα στεφανουμένη ὠκεανῷ; οὐ δῆτα καὶ αὐτὸς ξυνθεῖο τῷ λόγῳ. ἢ ἵνα καὶ ἕτερον ἐκ τῶν καθ' ἡμᾶς δανεισαίμην παράδειγμα, οἱ κατὰ σὲ βασιλέες καὶ βασιλέων οἱ φιλοθῆραι καὶ φιλοπόλεμοι λαμπρὰς μὲν ὡς μάλιστα καὶ πολυτελεῖς ἐν ταῖς ἐνεγκαμέναις καὶ ἀναλόγους τῷ σφῶν αὐτῶν μεγαλοπρεπεῖ τὰς οἰκοδομὰς περιβάλλονται, πόλεις ἄλλας ἄν τις εἴποι ταύτας ἰδών, μικροτέρας ἐγγεγραμμένας ἐν μείζονι· πολὺς μὲν γὰρ ὁ χρυσὸς ταῖς ὀροφαῖς ἐπανθεῖ, πολλαὶ δὲ τὸ ἔδαφος κοσμοῦσι πλάκες θετταλικαὶ καὶ καρύστιοι, τίτανος δὲ μυρία καὶ λίθος ξεστὴ τοὺς τοίχους ἐγείρει καὶ τὰς ἀψῖδας τούτοις ἐπικυρτοῖ· λῆρος πρὸς ταύτας ἡ τοῦ Σπαρτιάτου ἐκείνου οἴκησις ἥρωος· ἡ μὲν γὰρ νησιωτικοῦ μειρακίου μικροπρεπεῖς ὀφθαλμοὺς εἰς θάμβος ἑαυτῆς ἐφελκύσατο, αἱ δὲ κἂν τοὺς μεγαλοπρεπεστάτους τῶν πώποτε συναρπάσαιεν. ἔχετε μὲν οὖν τοιαύτας τὰς κατοικίας καὶ χλιδὴν περὶ ταύτας περιττὴν καὶ βασίλειον, ἀλλ' ὀπηνίκα θήρας καιρὸς ἢ σάλπιγξ διηχοῦσα τὸ

43 περισφίξας 55 παρὰ τούτω 58 Hom. Od. 11, 13 61 ἐν ταῖς | ἐνεγκαμέναις, aber in der irrigen Meinung, ἐν ταῖς übergangen zu haben, fügte der Schreiber vor εγκ ein ταῖς und hinter ἐγ ein γ hinzu 63 μικροτάτερας, korr. aus μικροτάτας 67 Hom. Od. 4, 71 ff.

ἐνυάλιον, τηνικαῦτα μικράς τινας ἐκ λίνων καὶ ταπεινὰς σκηνὰς σχεδιάσαντες, ἐν ταυταισὶ ποιεῖσθε τὴν οἴκησιν, ἄρτον πιτυρίαν δειπνοῦν-
fol. 48ᵛ τες λιτὸν ἐπὶ τυρῷ καὶ καρδάμῳ, ἔστι δ' ὅτε καὶ ἀγροτικαῖς | καλύ-
75 βαις ἐπαναπαύεσθε, καὶ οὐ σμικρύνεσθε παρ' ἐκείνας ἢ ἐκεῖναι παρ' ὑμᾶς μεγαλύνονται. τί μὴ λέγω τὸ μεῖζον καὶ κορυφαῖον; θεὸς ὑμνεῖται μὲν καὶ γλώσσαις ἀγγέλων, ἅστινας ποτὲ ταύτας τὰς γλώσσας Παύλῳ πειθομένους ὑποληπτέον, καὶ πολὺ πρὸ τούτων ταῖς σεραφικαῖς καὶ χερουβικαῖς, δευτέρως δὲ ταῖς ἀνθρωπίναις καὶ ἡμετέραις, καὶ τούτων
80 μάλιστα ταῖς καθαρωτέραις· ὑμνεῖται δ' ὅμως καὶ χαλάζαις καὶ πάχναις καὶ θηρίοις καὶ κτήνεσι· καὶ τὸ μεῖζον, ὅτι καὶ αὐτὸς εἰς οἰκεῖον ὕμνον ταῦτα καλεῖ διὰ μεγάλου τοῦ κήρυκος, τοῦ μουσικοῦ προφήτου καὶ ἱεροψάλτου καὶ βασιλέως· καὶ οὐχ ὕφεσιν τῆς οἰκείας ἠγεῖται μεγαλειότητος τὸ παρ' ἐμπίδος ἐπαινεῖσθαι καὶ κώνωπος, τούτων δὴ τῶν
85 μικρῶν τε καὶ φαυλοτάτων.

Μὴ τοίνυν μηδὲ δυσχεράνῃς μηδ' ὑπόβασίν σου τοῦ ὕψους ὑπονοήσῃς τὴν ἐξ ἡμῶν εὐφημίαν. σὺ μὲν ἐπὶ τῆς οἰκείας ἑστήξῃ πάλιν περιωπῆς καὶ κοσμήσει σε ἡ πορφύρα καὶ οἱ γεννήτορες αὐτοκράτορες αἵ τε προσοῦσαι τῶν ἀρετῶν σοι κύκλῳ δορυφορήσουσι· καὶ σὺ μὲν οὕτω
90 καὶ τοιούτοις ἔσῃ δορυφορούμενος, ἐγὼ δὲ χαμαί που καὶ ἐπὶ τῆς ἐμῆς ὑπωρείας ἑστὼς τῇ σῇ μνήμῃ μόνως ὡς τὸ εἰκὸς ὑψωθήσομαι. εἶεν· ἀλλὰ τί τοῦτο; καὶ τίς ὁ ἀθρόος ὑποτρέχων με ἴλιγγος; ἅμα γὰρ πρὸς τὰ σὰ προκύπτω πλεονεκτήματα καὶ ἅμα καινήν τινα θεοληψίαν πάσχω καὶ ἔκστασιν. σὲ μὲν ἐφ' ὑψηλοῦ τοῦ θρόνου καθιζόμενον ὁρᾶν φαν-
95 τάζομαι, κύκλῳ δέ σου περιεστάναι πολλοὺς μὲν ἄνδρας ἱεροὺς καὶ θεοπρεπεῖς, ἔστι δὲ ἃς καὶ θηλυτέρας ἐν σεμνοτέρῳ τῷ σχήματι· ἔνθεν μὲν γάρ σοι ὁ Ἄρης αὐτὸς μετὰ τῆς κυνέης, χωστρίδων αὐτῶν καὶ τῶν ὀρυκτίδων καὶ τῶν λόχων, ἐπὶ τούτοις καὶ τῶν ταφρεύσεων τὰς ἰλαρχίας προδεικνῦσαι, τὰς ἱππαρχίας, τὰς ψιλαγίας ἐκμυοῦσαι, τὰς ξεναγίας καὶ
100 τὰς στοιχήσεις, ἐπὶ τούτοις καὶ τὰς συζυγήσεις· οὐ μὴν ἀλλὰ καὶ τόλμα καὶ ῥώμη καὶ αὗται τὸ δορυφορικόν σοι συναπαρτίζουσιν, ἡ μὲν ἀνδρικῷ παλμῷ τὴν καρδίαν ἐγείρουσα, ἡ δὲ τὴν χεῖρα, πολεμεῖν δεῆσαν, πρὸς μάχην ὁπλίζουσα. ἐκεῖθεν δέ σοι περὶ τὸ οὖς ἡ φρόνησις ἐπι-
fol. 49 κύψασα ὑποτίθεσθαι δοκεῖ τὸ δέον | ἐν συμβουλίαις· καὶ τῇ μὲν ἡ
105 δικαιοσύνη μετὰ τῆς τρυτάνης καὶ τοῦ ζυγοῦ καὶ τῆς φίλης ἰσορροπίας παρίσταται, τῇ δὲ ἡ σωφροσύνη μετὰ τῆς ὥχρας καὶ τῆς σεμνότητος θαυμαστῷ τινι ζωστῆρι τὴν ὀσφὺν περιζώννυσι· καὶ ὧδε μὲν ἡ γραμματικὴ μετὰ τῶν διαλέκτων αὐτῆς καὶ τῶν ἐτυμολογιῶν καὶ τῶν ἀναλογιῶν καὶ τῆς κρίσεώς γε τῶν ποιημάτων, ἐκεῖθεν δὲ ἡ ῥητορικὴ μένος

---

73 ἄρτον πιτυ . . 77 1. Kor. 13, 1 80—82 Ps. 147, 3—10 87 ἑστήξῃ
95 σου (die Endung unsicher) 98 hinter ταφρεύσεων ist eine Lücke anzunehmen

ὅλον ἀττικοῦ πυρὸς ἀναπνέουσα, χρυσείοις περιδερραίοις καὶ ἐνωτίοις καὶ τῷ λοιπῷ κόσμῳ τοὺς ἐντυγχάνοντας γοητεύουσα· ἐπὶ πᾶσι καὶ πρὸ τῶν πάντων ἡ τιθηνός σοι φιλοσοφία τῷ τραχήλῳ γνησίως μητρικῶς περιπλέκεται· συνέπονται δέ οἱ καὶ δῆμος ὅλος ἱερῶν φιλοσόφων· ἔνθεν μὲν Πλάτων ὁ θεῖος, ἐκεῖθεν δὲ Ἀριστοτέλης μετὰ τῆς συνήθους κουρᾶς καὶ τοῦ δακτυλίου καὶ ὁ σιωπῶν ἐκεινοσὶ Πυθαγόρας, ἔτι δὲ Εὐκλείδης ὁ μαθηματικὸς καὶ Ἀντισθένης ὁ κυνικὸς καὶ Κλεάνθης ὁ στωικός, βίβλους ἅπαντες ἐξημμένοι καὶ τόμους ἀμφιγραφεῖς· καὶ πλείους γε τῶν ἄλλων Ἀριστοτέλης· κἂν μὲν ἀναπτύξῃ τὴν λογικήν, βαβαὶ τῆς ἐκ τῶν ἀναποδείκτων ἀποτοξεύσεως, ἂν δ' ἐκείνην συμπτύξας ἀναπτύξῃ τὴν φυσικήν, εὐθὺς ἐκεῖθεν μυρία προκύπτει δείματά τε καὶ φάσματα, τυφῶνες, πρηστῆρες, ἐξαίσιοι κεραυνοί, γῆς παλμοί, χαλάζης καταπετρώσεις, νιφάδος καταφοραί, ῥᾶβδοι, βόθυνοι, χάσματα· καὶ ὅλως ἑκάστη τῶν βίβλων ἰδια προβάλλεταί οἱ τὰ δείματα· Πλάτων δὲ κἀκ μόνης ἐπιγραφῆς θεαγωγεῖ καὶ ἀνάγει καὶ ὑψηλοὺς ἀπεργάζεται· ὁ μέντοι Εὐκλείδης, κἂν μόνον ἐπὶ τῆς δοθείσης εὐθείας τρίγωνον ἰσόπλευρον ἐπιχειρήσῃ συστήσασθαι, μετὰ τοῦ ἀμηχάνου τῆς ἀποδείξεως καὶ ἀπόρρητον εὐφροσύνης γάνος ἐπισταλάττει ταῖς ἀκοαῖς.

Πρὸς οὖν ἄνδρα τοσούτοις καὶ τηλικούτοις ὑπηρετούμενον καὶ δορυφορούμενον τίς οὕτω θρασὺς καὶ ἀτρύτου τόλμης περίπλεως, ὡς θαρσῆσαι διαγωνίσασθαι τὸν εὐφημητήριον; ἐγὼ μὲν καὶ τὸ ἐκ τῆς ῥητορικῆς σοι παριστάμενον κατέπτηχα πῦρ, μή με κατατεφρώσῃ, καὶ τὴν ἐκ φιλοσοφίας βροντήν, μή με καταβροντήσῃ, καὶ τὰς τῆς χαλάζης λίθους, μή με πετροβολήσωσι, καὶ τὰς οὐρανίους ῥάβδους, μή με μαστίξωσιν. οὐκοῦν ἐγὼ μὲν ἐπ' ἐμαυτοῦ σιγῶν ἑστήξομαι, μή τι καὶ λάθω ⟨παθὼν⟩ ὑπὸ τοῦ λόγου δεινόν, αὐτὴ δέ σε ἡ φιλοσοφία προσφωνείτω λοιπόν· βούλεται γάρ σε προσειπεῖν ὡς ὁρῶ καί τι ὑποψάλλειν ἔοικεν ὑπὸ τὸν ὀδόντα· καὶ ἀκουστέον γέ μοι αὐτῆς, ἵνα μὴ μόνον θεατὴς θαυμασίων ἀλλὰ καὶ ἀκροατὴς γενοίμην τὴν τήμερον.

«Χαῖρε μοι, ὦ τέκνον ὀψίτοκον μὲν τῶν δὲ ἐμῶν ὠδίνων ὡς ἐπίπαν καλλώπισμα· χαῖρε μοι, ὦ τέκνον, καὶ ὄναιο τῆς εἰς τὴν μητέρα φιλοτιμίας. | οὐχ ὁρᾷς τουτονὶ τὸν θηριώδη, τὸν βλοσυρόν, τὸν fol. 49ᵛ εὐρὺν τὰ στέρνα, τὸν ⟨πολὺν⟩ τὸ δόρυ τὲ καὶ τὴν κόρυθα; οὗτος, οἷον μὲν τὸ μέχρι σοῦ, καθ' ἡμῶν ἐμεμήνει· καὶ ὁπόσην ἐνίστη τὴν βλασφημίαν, τί ἂν καὶ λέξοιμι διαξαίνουσα καὶ ταῖς καθ' ἕκαστον ἐπεξιοῦσα τῶν ὕβρεων; τὸ δ' οὖν σύμπαν αὐτῷ τοῦ σκώμματος τοιοῦτόν τι ἦν, ὡς παχυλῶς εἰπεῖν καὶ συνεπτυγμένως· εἰσδὺς γὰρ τὸν ἀνθρώπινον ἅπαντα βίον οὑτοσὶ διελόμενος, βασιλέας λέγω καὶ ἰδιώτας

---

114 Diog. Laert. 5, 1; Ael. v. h. 3, 19 121 παλμοὶ 124 ἀνάγει (korr. aus — ἀγη?) 132 καταβροντίση 134—135 καὶ λάθων ὑπὸ 141 (u. 156) βλοσυρὸν

καὶ τὴν ἐγκεκρυμμένην μοῖραν καὶ τὴν ἀπόκριτον, ἑαυτοῦ μὲν ὁ γεννάδας τὸ βασιλικὸν ἐποιήσατο καὶ τὸ κρεῖττον εἰσεποιήσατο μέρος, ἐμοὶ δὲ τὴν ἰδιωτείαν καὶ τὴν χειρωναξίαν προσεκληρώσατο· καὶ διὰ τῆς ἐπαγωγῆς ὀδεύων ἑαυτῷ μὲν Καμβύσας ὅλους καὶ Ξέρξας καὶ Κύρους καὶ τοὺς ἑξῆς κατὰ σειρὰν ἐχαρίσατο βασιλέας, ἐμοὶ δὲ τὸν ἀργυραμοιβὸν Διογένην καὶ τὸν ναύκληρον ἀπονενέμηκε Ζήνωνα· κἄν ποτέ οἱ καὶ αὐτὴ τὸν Μακεδόνα προβάλοιμι καὶ Κάτωνα τὸν Ῥωμαῖον καὶ Μάρκον Ἀντωνῖνον τὸν αὐτοκράτορα, τοὺς μετὰ βασιλείας ἢ στρατηγίας φιλοσοφήσαντας, ὁ δὲ βλοσυρὸν ἀντιβλέψας καὶ τὸν λόφον νεύσας κατὰ τῆς γῆς, ἀλλὰ σπάνιόν γε τοῦτ', ἔφη, κἂν τοῖς ἀνέκαθεν χρόνοις γενόμενον ὁμοῦ καὶ ἀπογενόμενον'. ταῦτά μοι τὸ μέχρι σοῦ καὶ εὐαπολόγητά γε, ὦ τέκνον, ὁ μιαιφόνος οὗτος ἀντελογεῖτο· κἀγώ, μὴ στέγουσα τὴν αἰσχύνην, ἢ μὴν χανοῦσαν ηὐχόμην εἰσδεδυκέναι τὴν γῆν ἢ οὐλυμπόνδε ἀναδραμεῖσθαι, λευκοῖς φαρέεσσι καλυψαμένη χρόα καλόν. ἀφ' οὗ δέ σε ἀγαθῇ τύχῃ παραλαβοῦσα, τὸν ἐκ βασιλέων, καὶ κλιμακηδὸν τοῖς μαθήμασι προβιβάσασα μέχρι καὶ ἐπ' αὐτὸν τῆς παιδείας τὸν κολοφῶνα καὶ τὴν ἀκρόπολιν ἤνεγκα καὶ ἄγαλμά σε λόγων καὶ μέλημα σοφίας ἐποιησάμην καὶ πλήρη σοι τοῦ νοῦ τὴν φορτίδα τῶν λογικῶν ἀγωγίμων ἀπέδειξα, πρῶτα μέν σε ταῖς ἀριστοτελικαῖς ἐμβιβάσασα λαβυρίνθοις καὶ τὰς ἀπεριηγήτους τούτου τῶν ἑλίκων περιστροφὰς περιηγησαμένη σοι καὶ ἄριστόν σε τὰ τοιαῦτα ποιησαμένη — ἢ οὐχ οὕτω δοκεῖ καὶ σοί, Ἀριστότελες; ὁρᾷς; ἐπινεύει καὶ πάνυ μὲν οὖν, φησίν, ὦ δέσποινα' — ἔπειτά σε τοῖς πλατωνικοῖς ἐνθεαγωγήσασα λόγοις, τοῖς Τιμαίοις, τοῖς Ἀλκιβιάδαις, τοῖς Ἀξιόχοις, τοῖς Φαίδωσι, τοῖς ῥήτορσι Γοργίαις, τοῖς ἐπιστήμοσι Θεαιτήτοις καὶ προσεπιτούτοις τῇ πολιτικῇ δεκαβίβλῳ, καὶ ὑψηλόν σε καὶ ἔνθεον καὶ τοῦτ' ἐκεῖνο θεολόγον ἐργασαμένη — ἢ οὐ ταῦτα, θεῖε Πλάτων, καὶ σὺ μαρτυρεῖς; ὁρᾷς; ἐπινεύει καὶ οὗτος πολὺ πλέον τῇ καταθέσει ἢ τῷ κυρτώματι — μετὰ δέ σε καὶ ἀριθμῶν ἀναλογίας καὶ πᾶσαν τὴν ἐπιπέδοις καὶ στε-
fol. 50 ρεοῖς γεωμετρικὴν | θεωρίαν μυσταγωγήσασα — συνευδοκοῦσι τῷ λόγῳ Νικόμαχος οὗτος ὁ πυθαγορικὸς καὶ Εὐκλείδης ἐκεινοσὶ ὁ στοιχειωτής — ἀφ' οὗ ταῦτα γέγονε καὶ βασιλικῶς ὄντως ὁ ἐκ βασιλέων φρονήσας τὴν τῶν ἐπιστημῶν ᾠκειώσω βασίλισσαν, ἀφ' οὗ ταῦτα γέγονεν, ἐπεξυγώθη τῷ ἁλιτηρίῳ τούτῳ τὸ στόμα καὶ εἰς τὸ ἐναντίον περιετράπη τὰ πράγματα· κἀγὼ μὲν μεγαλαυχοῦμαι τὰ κατὰ σὲ κἀκ τοῦ προσώπου βαλλομένη τὴν κόμην γυμνῷ τῷ μετώπῳ πρὸς τὸν μιαιφόνον ἀντιθρασύνομαι, ὁ δὲ τὴν κυνέην κατὰ τῶν ὀμμάτων ἐπισπασάμενος ἐπικαλύπτει ταύτῃ τὸ πρόσωπον, τὴν αἰσχύνην μὴ στέγων. καὶ τό γε

---

154 αὐτοὶ 160 ἢ μὴν 161 Hes. O. D. 198 163 κλημακηδὸν 165 νοῦ τὴν φροντίδα 169 ἡ (korr. aus ἢ) 174 ἡ 177 γραμματικὴν

θαυμασιώτερον, ὅτι κἀμὲ τιμήσας καὶ ἐναγκαλισάμενος οὐδὲ τοῦτον ἔξω τίθης φροντίδος οὐδὲ μελέτης, ἀλλ' εἰς ἓν ἄγεις λόγον καὶ μάχην καὶ κυκεῶνα τοῦτον καινὸν συγκιρνᾶς, φιλοσοφίας καὶ ἐννοῦς· ἐκεῖ τοῦτο τὸ Ἀρχιλόχειον· ἀμφότερον θεράπων μὲν ἐνναλίοιο θεοῖο καὶ μουσάων ἐρατὸν δῶρον ἐπιστάμενος· ἐν μάχαις ἱππότης τοξότης ἱππο- 190
τοξότης δορυφόρος ἀκοντιστὴς πελταστὴς στρατιώτης ὁ αὐτὸς καὶ στρατάρχης, ἐν λόγοις λογικὸς φυσικὸς ἠθικὸς πολιτικὸς οἰκονομικὸς μαθηματικὸς θεολόγος, ἄριστος ἐν ἑκάστῳ καὶ τῆς ἐν πᾶσι μὴ καθυστερίζων ἀκρότητος. ἄλλοι μὲν γὰρ Ἑλλήνων τε καὶ Ῥωμαίων ἄλλα τυχὸν κατωρθώκεσαν· καὶ οἱ μὲν ἐδημαγώγησαν, οἱ δ' ἐστρατήγησαν, οἱ δ' 195
εὐδοκίμησαν περὶ λόγους· καὶ τούτων ὁ μὲν φιλοσοφίαν, ὁ δὲ ῥητορείαν, ὁ δὲ ποιητικὴν ἐκμεμελετήκει. τὸ δὲ τὸν αὐτὸν καὶ στρατηγεῖν ἅμα καὶ ἐπιστατεῖν ποιήμασι καὶ φιλοσοφεῖν καὶ θεολογεῖν καὶ ῥήτορσι διαιτᾶν καὶ ἑκάστῳ τοὺς περὶ ἕκαστον εὐδοκίμους νικᾶν — οὐδενὸς ἂν εἴη τῶν ἁπάντων, ἢ μόνης τῆς Ἰσαακίου ψυχῆς. οὕτως ὄναιο τῶν 200
φιλτάτων, οὕτω σαυτοῦ, οὕτω τοῦ περιποθήτου αὐταδέλφου καὶ αὐτοκράτορος, ᾧ καὶ βρεφόθεν μὲν εἰς μίαν συνεκράθης ψυχὴν κἀν τῇ τῆς ἡλικίας αὔξῃ τὸν πόθον συνηύξανες καὶ πρὸς μικρὸν τοῦ φθόνου νικήσαντος αὖθις συνῆλθες καὶ συνερρώγεις, οὐχ ὑπομείνας τὴν ἐκ τούτου διάστασιν. Κάτωνι μὲν γὰρ τῷ Ῥωμαίῳ τοσοῦτον ἱστόρηται μετεῖναι 205
φιλαδελφίας, ὡς, ἐπεί ποτέ τις αὐτὸν ἔροιτο, τίνα πρὸ τῶν ἄλλων φιλοίη, ὁ δὲ 'τὸν ἀδελφόν' ἀποκρίναιτο, κἀπειδήπερ ἐκεῖνος μετέροιτο, τίνα δὲ μετ' ἐκεῖνον, ὁ δὲ πάλιν φαίη 'τὸν ἀδελφόν', καὶ τοῦτο τρὶς καὶ πολλάκις, ἄχρις ἂν ὁ ἐρωτῶν ἀποκάμοι καὶ σταίη τῆς ἐρωτήσεως· σὺ δὲ οὐκ ἐν πεύσεσι μόνον καὶ ἀποκρίσεσιν, ἀλλὰ καὶ ἔργοις καὶ 210
πράγμασι πολλαχοῦ καὶ πολλάκις τὸ φιλάδελφον ἔδειξας. οὕτως ὄναιο τῶν βιβλίων καὶ τῆς περὶ ταῦτα σεμνῆς ἀσχολίας. καὶ γένοιντό σου αἱ ἡμέραι ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ, εὖ μὲν διακειμένου καὶ πρὸς πάντας τοὺς ἐμοὺς ἐραστάς, μάλιστα δὲ πρὸς τοῦτον τὸν ἐμὸν μὲν ὡς ὁρᾷς ὑποφήτην, σὸν δὲ οἰκέτην εὐγνώμονα καὶ εἰ μὴ γοῦν σοφὸν καὶ 215
καλὸν ἀλλὰ φιλόσοφον καὶ φιλόκαλον.»

Da es hier besonders darauf ankam, den sachlichen Inhalt der neuedierten Texte zu behandeln und zur Aufhellung einzelner bisher ungewissen Ereignisse aus der Zeit des Kaisers Johannes Komnenos zu verwerten, so beschränke ich mich hinsichtlich der formalen Seite dieser Texte, ihrer Sprache und ihrer Metrik, auf einige kurze Bemer-

187 ἄγεις (korr. aus ἄγους) 190 ἐρατῶν, aber Archil. (frgm. 1) und Prodr. selbst an einer anderen Stelle (Migne *133*, 1246 A) haben ἐρατόν 205 Plut. v. Cat. min. c. 3 213 Baruch 1, 11

kungen. In den hier mitgeteilten jambischen Gedichten ist an zwei Stellen die Regel über den paroxytonischen Versschluß verletzt, beidemal im Epitaph auf Theodora (Nr. 2). Das eine Beispiel in V. 50 (*καίσαρος*) könnte als nicht zu umgehender Terminus technicus entschuldigt werden, beim zweiten in V. 126 (*πράγματα*) liegt es nahe, an eine alte, schon in der Vorlage von P vorhandene Korruptel zu denken, zumal da der metrische Fehler ohne große Mühe hätte vermieden werden können. Die Hexameter des Prodromos verdienen wegen ihres die alten metrischen Regeln sorgfältig beobachtenden Baus alles Lob; natürlich muß man über die Nichtbeachtung der ursprünglichen Quantität in den mittelzeitigen Vokalen (*α*, *ι*, *υ*) hinwegsehen (vgl. 1, 196 *ἄτος* = *ᾶτος*, *ἄατος*) und ebenso über die häufige Verwendung von unnützen Flickwörtern (*δέ*, *τε* usw.). Jedenfalls übertreffen die hexametrischen Verse des Prodromos bei weitem die gleichartigen Erzeugnisse eines Theodoros Balsamon und Michael Akominatos und erst recht eines Theodoros Metochites, von dessen Hexametern der alte Villoison drastisch, aber nicht unberechtigt einmal behauptet hat: ils ont l'air d'être écrits dans la langue Tatare dont ils ont toute la dureté. Allerdings finden sich auch bei Prodromos bisweilen Fälle, wo den sprachlichen Formen oder dem üblichen epischen Dialekt Gewalt angetan ist, z. B. 1, 142 *πολλέες*; 1, 231 *ὑμέσιν*; 4 C, 46 *κλονέσαι*; 1, 65 *σιδαρέοις*; 1, 126 *ἰὰ*; 1, 183 *ὄρφναν*. Dabei ist nicht einmal überall der Verszwang entscheidend gewesen, denn das regelrechte *ὕμμι* tut dieselben Dienste wie *ὑμέσι*.

Im kritischen Apparate habe ich manche orthographische Besonderheiten, vom Schreiber selbst gemachte Korrekturen nnd ähnliche Quisquilien übergangen. Hinsichtlich der (noch nicht genügend aufgeklärten) Betonung der Encliticae bin ich der Hs oder, wo mehrere Hss vorlagen, der besten von ihnen gefolgt.

100 suiv. Je crois que la double correction de *ἀναλογιζομένη* en *ἀναλογιζομένοις*, et de *αὔξουσαν* en *αὔξουσιν*, permet de trouver un sens relativement clair à cette période, au premier abord fort embrouillée. — *Μέχρι τούτων τὴν ἀρετὴν περιορίζειν ὑποβάλλει.* Les changements fréquents de la température (ou des circonstances) engagent les hommes à *réserver* leur vertu pour une occasion favorable. Le sens ne serait-il pas plus satisfaisant si au lieu de *τὴν ἀρετήν* on écrivait *τὸν ἄροτον*?

119 *δι' αἵματος ὑποβᾶσι τὸν ἀντίπαλον.* Ce texte est peu intelligible. *Αἷμα* n'a rien à faire ici, puisque „le temps des martyrs est passé". *Ὑποβαίνω* ne se rencontre que très rarement dans le sens de *ὑποχωρῶ* (v. Thesaurus s. v.); mais c'est bien cette signification qu'il doit avoir ici. La construction avec l'accusatif s'explique, elle aussi, par l'analogie de *ὑποχωρῶ*. Cf. notamment Lucien, Toxar. c. 36 *ὑποχωρῶμεν τοὺς ἐπιόντας*. L'auteur veut donc dire que seront récompensés non seulement ceux qui vaincront Satan, mais encore ceux qui lui échapperont par une retraite habile (*ἐντέχνως*). Or la plus rapide retraite, le plus efficace moyen d'éviter un corps à corps dangereux, c'est le bond en arrière: *δι' ἅλματος.*

δόξης ἠξιωμένοις· οὐδεὶς δὲ πράγμασιν ὑλικοῖς συδεδεμένος καὶ πάσῃ 120
τῇ περὶ τὸν βίον ῥαστώνῃ, τὸν νικητήριον τοῦτον τῆς ἀθλήσεως ἀνα-
δήσασθαι δυνήσεται στέφανον· ἀλλ' ὁ ἑαυτὸν διὰ τῆς παντελοῦς τοῦ
κόσμου σταυρώσεως ἔξω πάντων ποιήσας τῶν ἐπιγείων, οὗτος τῶν
τελείων τῆς ἀρετῆς τεύξεται πλεονεκτημάτων· ἐξ ὧν πάλιν ἵνα μὴ καὶ
οὗτος καταστρατηγῇ τὸ ἀδύνατον, διάφοροι τῶν | ἀρετῶν ἀναθάλ- f. 194r
λουσιν αἱ βλαστήσεις· οἱ μὲν γὰρ τὸν πάντη μοναδικὸν ἀσπάζονται βίον, 126
θεῷ μόνῳ συγγινόμενοι καὶ ἀθλητικὴν μονίαν ἀνύοντες, οἱ δὲ σὺν ὁμο-
ψύχοις δυσὶ ἢ τρισὶ ἀλλήλους πρὸς ἀρετὴν παραθήγοντες, ὁμοφρόνως
βιοῦσιν· οἱ δὲ μεγίστη συμμορία γενόμενοι, ὡς παράδεισος Θεοῦ ποι-
κίλοις δένδροις κατακοσμούμενος διαφόρους καρποφορίας τῷ κυρίῳ 130
προσφέρουσιν. Εἰσὶ δὲ τούτων οἳ πᾶσαν εἰς κάλλος καὶ μέγεθος αὐξή-
σαντες ἀρετὴν, καὶ πρὸς τὸ τέλος αὐτῆς καταντήσαντες, ὑπὸ τῆς ἄνωθεν
χάριτος ἐπὶ μείζοσι προβαλοῦνται βαθμοῖς, καὶ τῶν ἑπομένων τοῖς
ἐρημικοῖς ἀρετῶν διὰ τὴν σπάνιν ἀπολειφθῆναι μὴ καταλιμπανόμενοι,
ἀλλὰ καὶ προσκαλούμενοι καὶ ἐκ δόξης εἰς δόξαν μετοχετευόμενοι, 135
πλειόνων καὶ τῶν χαρισμάτων καταξιοῦνται τοῦ πνεύματος. Ὧν εἷς
ὑπάρχει καὶ ὁ νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενος Δημητριανὸς ὁ μακα-
ριώτατος, οὗ τὸν βίον καὶ τὰ θαύματα προτραπεὶς παρ' ὑμῶν, ἱερώτατοι,
ἐντάξαι τῷδε τῷ διηγήματι, κοινὸν τοῖς ἀκούουσιν ὄφελος, λίαν ἐπὶ
τούτῳ ἰλιγγίασα, τῆς ἐμῆς ἀμαθίας καὶ ἀτέχνου | τοῦ λόγου κατα- f. 194v
σκευῆς τὸν κίνδυνον ὑφορώμενος, ὅμως ταῖς τοῦ νῦν εὐφημουμένου 141
ἱερωτάτου πατρὸς πρεσβείαις τεθαρρηκὼς τῆς προκειμένης ἀπάρχομαι
διηγήσεως·

Δημητριανὸς τοίνυν ὁ ἅγιος τὸ γένος ἦν Κύπριος ὑπὸ τὴν ἐπαρ-
χίαν τελῶν τῆς Χυτρίδων πόλεως, ἐκ κώμης τινὸς ὁρμώμενος καλου- 145
μένης Συκαῖς, πατρὸς μὲν λίαν ἐναρέτου καὶ φοβουμένου τὸν Κύριον,
ὃς καὶ διὰ τὴν τῆς ἀρετῆς ὑπερβολὴν τῷ τῆς ἱερωσύνης κατεκοσμεῖτο
ἀξιώματι· πρεσβύτερος γὰρ ταύτης ὑπῆρχεν τῆς κώμης, ὡς καὶ πάντων
τῶν ἐν ταύτῃ οἰκούντων κρατῶν, καὶ λίαν παρὰ πάντων φιλούμενός τε
καὶ ἀγαπώμενος· μητρὸς δὲ λίαν εὐσεβοῦς καὶ φιλοθέου, ὡς εἶναι ταύ- 150
την ἐν γυναιξὶ τῶν τῆς κώμης, ὅπερ ἐν ἀνδράσιν ὁ πατὴρ ἐγνωρίζετο.
Ἐκ ταύτης τῆς καλλίστης συζυγίας ὁ μέγας ἤνθησε Δημητριανὸς ἐν
ἀρχῇ τῆς βασιλείας Θεοφίλου τοῦ μισοχρίστου βασιλέως. Ἐν τούτοις

---

120. 121 *πᾶσι τῆς* ‖ 123 *οὕτως*; qu'on pourrait à la rigueur conserver ‖ 126 *τὸν πάντιμον ἄδικον* ‖ 133 *μείζωσι* | Peut-être faut-il écrire *προβάλλονται* | *λειπομένων* ‖ 138 *ἡμῶν* ‖ 140 *εἰλιγγίασα* ‖ 145 *τελὼν* ‖ 151 Peut-être *ταῖς* est-il préférable à *τῶν*

---

140 *καὶ τὸν νοῦν αὐτοῦ βεβαιῶσαι, δεινῶς ἰλιγγιῶντα ἐν τοῖς λογισμοῖς* Vita Barl. et Joasaph p. 35 Boissonade.

τοῖς χρόνοις γεννηθεὶς ὁ τοῦ Θεοῦ ἄνθρωπος, μητρικῶν εὐθὺς ἐκ σπαργάνων καθάπερ τις ἕτερος Σαμουὴλ τῷ τοῦ Θεοῦ κλήρῳ ἐγκαταλέγεται, καὶ πᾶσαν ἐκ νεαρᾶς ἡλικίας ἀσκήσας τὴν ἐν τοῖς θείοις ἤθεσί
f. 195r τε καὶ | μαθήμασι παίδευσιν, τοῖς πατρικοῖς διέλαμπε κατορθώμασι. Τούτῳ γὰρ ἐν πωλικῷ παραθέων φρυάγματι, τῶν ἴσων τρόπων οὐδὲ τὸ βραχύτατον ἀπολειφθῆναι ἠνέσχετο. Ἐκ δὴ τούτων πάντας μὲν τοὺς καθ' ἡλικίαν ἴσους ἢ καὶ ὑπερβεβηκότας ἦν ὑπερβάλλων, πᾶσιν δὲ τῶν ὕστερον αὐτοῦ κατορθωμάτων ἐδίδου προβλέπειν τὸ μέγεθος, εἴπερ ἐξ ὀνύχων καὶ λεόντος ἐστὶν ἴχνη καταμαθεῖν τοῖς μὴ πάντη τυφλώττουσιν. Γενομένου δὲ αὐτοῦ πεντεκαιδεκαέτους καὶ ἡβήσ⟨αντος⟩, ἐκ ταύτης τῆς ἡλικίας βουλὴν οἱ τοῦτον γεννήτορες βουλευσάμενοι τὴν ἀκινδυνοτέραν [ὁδὸν] ὡς ᾤοντο πρὸς τὴν τῆς ψυχῆς φυλακήν, εἰ καὶ δευτέραν πρὸς τὸ τῆς παρθενίας καλόν, νομίμῳ καθ' ὑπερβολὴν προσέθεντο γάμῳ· καὶ τὸν ἀναντίλογον τοῦτον ὡς ἐν ἅπασι κατὰ πάντα ὑπήκοον ἔχοντες, πείθουσι καὶ μὴ βουλόμενον τῷ γαμικῷ ὑποκῦψαι ζυγῷ, καὶ δουλείαν τῆς ἐλευθέρου ζωῆς ἡγήσασθαι κρείττονα. Οἱ μὲν οὖν οὕτως βουλευσάμενοι καὶ πέρας τῇ αὐτῶν ἐπιθέντες γνώμῃ, τῷ νέῳ τὴν γαμήλιον ἑορτὴν ἐπετέλεσαν, κόρην τινὰ τῇ ὥρᾳ καὶ τῷ κάλλει
f. 195v διαφέρουσαν, καὶ ἀξίαν ἐν τοῖς ἤθεσι τῆς τούτου ψυχῆς, τού|τῳ συζεύξαντες. Ὁ δέ γε φιλάνθρωπος Κύριος, ὁ γινώσκων τοὺς ὄντας αὐτοῦ καὶ πρὸ γενέσεως, τάχιστα τῶν αὐτοῦ ἀγκαλῶν τὴν συζευχθεῖσαν ἀπέζευξε. Τριμηναίου γὰρ παρελθόντος μετὰ τὴν συνάφειαν χρόνου, ἡ τοῦ μακαρίου Δημητριανοῦ σύνευνος τὸν ἀνθρώπινον μεταλλάττει βίον, πρὸς δὲ τὸν ἄλυπον καὶ ἀμείνονα μετατίθεται, τῆς θείας προνοίας τῶν ἀμφοτέρων τὸ συμφέρον οἰκονομησάσης καλῶς κατὰ τὸ ἄπειρον βάθος τῆς αὐτοῦ (sic) ἀνεξιχνιάστου γνώσεως. Καὶ γὰρ ἀμφοῖν τὰ τῆς παρθενίας σῶα διαφυλάξας σήμαντρα, οὕτω τὴν διάζευξιν ᾠκονόμησε· κἀκείνην μὲν τῶν οὐρανίων θαλάμων σὺν ταῖς φρονίμοις καταξιώσας παρθένοις, τῷ δὲ μειζόνων ἔργων καὶ στεφάνων ἐκ τούτου τοῦ δράματος ὑπάρξας παραίτιος. Ὁ δὲ μακαριώτατος Δημητριανὸς τὸ ἐπ' αὐτῷ γενόμενον θείας ἔργον εἶναι κρίνας προνοίας, πᾶσαν τὴν ἐξ ἀθυμίας ἐπισυμβαίνουσαν ἐν τοῖς τοιούτοις ἀποτιναξάμενος λύπην, εἰς

158 πολικῶ || 159 τὸν || 163 ἥβης || 165 ὁδὸν me paraît une interpolation || 166. 167 προέθετο || 171 κόριν || 182 μειζώνων || 183 δράγματος || 185 ἀποτειναξάμενος

161. 162 Proverbe souvent cité dans la littérature hagiographique. *An. Boll.*, XIII (1894), p. 90, l. 26 Suppl. ad acta S. Lucae Junioris *εἰ δὲ χρὴ καὶ ἀπὸ μικρῶν τινων συμβάντων οἷον ἐξ ὀνύχων φασὶ τὸν λέοντα . . . δεικνύειν.* Mais il semble y avoir ici une contamination du proverbe et de l'expression *ἐξ ἁπαλῶν ὀνύχων.*

166. 167 *προστίθεμαι· τοῦ μὲν πικροῦ τῆς ἀπάτης ἀφίσταντο σκότους, τῷ δὲ γλυκεῖ τῆς ἀληθείας φωτὶ προσετίθεντο.* Vit. Barl. et Joas. p. 7 Boissonade.

εὐχαριστίαν δὲ κινήσας πᾶσαν αἴσθησιν, τοιοῖσδε πρὸς τὸν δεσπότην εὐχαριστηρίοις ἐχρήσατο ῥήμασι. „Σοί, Κύριε, παρατίθημι τὴν ἐκ πατρικοῦ βουλήματος δεδομένην μοι βοηθόν· τῷ σῷ γὰρ πειθόμενος προστάγματι, τοῖς αὐτοῦ οὐκ ἀντεῖπον θελήμασι. Σοῦ γὰρ τῷ νεύ- f. 196r
ματι τὸν ὑποσκελισμὸν τῶν ἐμῶν ἀφείλου ποδῶν πανσόφως, τάχιστα τὴν παγίδα συνθλάσας, καὶ ἀμέτοχόν με τῆς φθοροποιοῦ ἐργασάμενος ἁμαρτίας. Σοὶ θαρρῶν τὴν ἐμὴν ἀνατίθημι παρθενίαν, ἣν καὶ μετὰ τὴν συζυγίαν σῴαν ἐφύλαξας· σοὶ πάντα τὸν ἐμὸν προσάγω βίον διὰ τῆς πρὸς σὲ ὁλοψύχου εὐαρεστήσεως.“ Τούτοις καὶ ἑτέροις πλείοσι πρὸς τὸν Θεὸν χρησάμενος λόγοις, καὶ ἐκ τῆς συμπεσούσης αὐτῷ ἀθυμίας διεγείρας ἑαυτόν, ὁ καὶ πρὸ τῆς πολιᾶς πολιός, περιαγαγών τε κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα, ἐκ τῆς ἔξω περιπλανήσεως, καὶ εἰδὼς πάντα τὰ τοῦ βίου ὡς ἀνωφελῆ, ὡς μάταια, ὡς πάσης ὀνειρώδους τέρψεως εὐτελέστερα, χαίρειν πᾶσιν εἰπὼν καὶ αὐτοῖς τοῖς γεννήτορσι, μετανάστης πάντων τῶν τοῦ κόσμου γίνεται πραγμάτων, ὅρος δὲ τοῦτον ἡλίβατον ὑποδέχεται, ἐν ᾧ μοι ἀστήριον ὑπῆρχεν τοῦ μεγάλου φωστῆρος τῆς οἰκουμένης Ἀντωνίου, οὐ πολλῶν μὲν ἐν τούτῳ ἀσκουμένων διὰ τὸ λίαν τραχὺ τοῦ τόπου καὶ ἀπαράκλητον, πάντων μὲν ὅμως τελείων ἀνδρῶν καὶ ἐν μηδενὶ λειπομένων τῶν τῆς ἀρετῆς πλεονεκτημάτων. Οὓς ἰδὼν Δημητριανὸς ἐζήλω|σεν ἐν καλῷ· καὶ τέως μὲν καὶ πρὸ f. 196v
τῆς ἀσκητικῆς παλαίστρας ἑαυτὸν ἐν τοῖς πόνοις ἐθίζων, νηστείαις καὶ ἀγρυπνίαις καὶ ταῖς ἄλλαις κακοπαθείαις τὸ ἑαυτοῦ ἐγύμναζεν σῶμα, πάντων μὲν τῶν ⟦ὅσα⟧ πρὸς τὸ τῆς ἡδονῆς ἑλκόντων λεῖον ἀποστρεφόμενος· μόνην δὲ τὴν κακοπάθειαν τῆς δαψιλοῦς ἀεὶ προτιμῶν καρυκείας, ὡς ἐκ τῶν προοιμίων, πάντας τοὺς χρόνῳ καὶ ἡλικίᾳ προβεβηκότας ὑπερέβαλλεν ἐν τῇ κατὰ θεὸν ἀσκήσει, σπουδῇ τε καὶ προθυμίᾳ· ὅθεν ὁρῶντες τὴν τούτου καλλίστην ἀναστροφὴν οἱ τοῦ τόπου πατέρες, πρὸς τὴν τοῦ μονήρους βίου ἀμφίασιν τοῦτον παραινεῖν ἀπήρξαντο, τοιοῖσδε χρώμενοι ῥήμασι· Οὐ δίκαιόν σε, τέκνον, τοῦ σχήματος ἀλλοτριοῦσθαι, οὗ περ τοὺς τρόπους μετ' ἐπιστήμης ἀνύειν μεμάθηκας. Τοίνυν εἰ ταῖς ἡμετέραις πείθῃ γνώμαις, καλῶς σοι συμβουλεύουσι· τάχιστα τούτῳ κατακοσμηθῆναι θέλησον, ὅπως πλείονα τὸν ἐκ τούτου δεξάμενος φωτισμὸν τῶν μυστικωτέρων τῆς ἀρετῆς κατορθωμάτων ἐπιτεύξῃ. Ὁ δὲ μακαριώτατος Δημητριανὸς τοῖς τῶν πατέρων λόγοις ἡσθείς, γονυπετῶν ἐλιπάρει τὰ καλῶς αὐτῷ παρ' αὐτῶν βεβουλευμένα δεξιὸν | δέξασθαι πέρας, ἐπὶ τούτῳ γὰρ ἔφασκε πᾶσαν καταλελοιπέναι f. 197r
κοσμικὴν προσπάθειαν καὶ γονέων φίλτρον, ἵνα τῆς τοιαύτης χάριτος

186 εὐχαριστείαν ‖ 190 ὑποσκελλισμόν ‖ 192 σὺ ‖ 195 χρησάμενον ‖ 196 πολιὰς πολιὰς ‖ 209 δαψιλοὺς ‖ 209. 210 καρυκίας ‖ 211 ὑπὲρ βάλλειν ‖ 213. 214 ἀπήρξατο, τοιοῖς δὲ ‖ 215 μετεπιστήμεις ‖ 218. 219 ἐπιτεύξει ‖ 221 τούτων | καταλελυπέναι

μέτοχος γένηται. Εὐθέως οὖν τῆς συνήθους ἐπ' αὐτῷ τελεσθείσης ἀκολουθοῦ τάξεως τῆς μοναχικῆς ἱερολογίας, τὸ οὐράνιον καὶ ἀγγελικὸν περιβάλλεται σχῆμα, οὗ τινος καταξιωθεὶς ὁ μακαριώτατος τοῖς προτέροις πόνοις πόνους προσετίθει, καὶ ἐπὶ τῷ προκαταβληθέντι θεμελίῳ καλῶς ἐπῳκοδόμησε χρυσόν, ἄργυρον, λίθους τιμίους καὶ τέσσαρας ἐν αὐτῷ οὐρανομήκεις στύλους πηξάμενος τὰς πασῶν ὑπερκειμένας ἀρετάς, φρόνησιν, ἀνδρείαν, σωφροσύνην καὶ δικαιοσύνην, τῷ κύκλῳ τῶν λοιπῶν ἀρετῶν τούτους κατεστεφάνωσε· ἐξ ὧν ἄρτιον ἑαυτὸν οἶκον τοῦ παναγίου ἐργασάμενος πνεύματος, τῆς τούτου ὑποδοχῆς κατηξίωται οὗ τινος τῇ ἐπιδημίᾳ πᾶσα ἡ τῶν πονηρῶν δαιμόνων φάλαγξ μὴ εὑροῦσα παρείσδυσιν φροῦδος γίνεται. Ἔνθεν αὐτοκράτωρ ἁπάντων γενόμενος τῶν παθῶν, καὶ ἔξω τῆς αὐτῶν χρηματίσας ὀχλήσεως, τελείας ἐλευθερίας ἀπήλαυσε. Ἐν γὰρ τῇ καλλίστῃ συζυγίᾳ τῆς πρακτικῆς ἀρετῆς, νηστείας
f. 197[v] τέ φημι | καὶ ἀγρυπνίας, τὰς ψυχικὰς νευρώσας δυνάμεις, τῶν σωματικῶν ἀνώτερος ἀπεφάνθη παθῶν. Τῶν δὲ ψυχικῶν δυνάμεων τοσοῦτον κατεκράτησεν, ὡς μηδὲ ὁρμὴν παρασχεῖν ταύτης τῆς παρὰ φύσιν ἐνεργείας, ἀλλ' ἦν ἐκ τοῦ δημιουργοῦ ⟦ἐκ⟧ τῶν ἀντικειμένων ἔσχεν διάκρισιν, ταύτην ἔχειν εἰς ἁπάντων τῶν ἀγαθῶν ἐπανάληψιν· τὸ δὲ τριμερὲς τῆς ψυχῆς ὡς θέμις οἰκονομήσας, τὸ ἀπηγορευμένον τούτου καλῶς ἀπεπέμψατο, κατανύξεως δὲ καὶ συννοίας τοσοῦτον ἐπεμελήθη, ὡς μηδὲ ὁρμὴν μειδιάματος προβάλλεσθαι πώποτε· εἴσω δὲ συννενευκὼς καὶ ἀεὶ Θεῷ τε καὶ ἑαυτῷ συγγινόμενος, τὰς ἀκαίρους φιλολαλίας ὑπεξέκλινεν· ἔνθεν αὐτῷ τοσοῦτον ἐπηγένετο δακρύων πλῆθος, ὡς διὰ παντὸς ἐν νυκτὶ καὶ ἡμέρᾳ κοιταζομένῳ τε καὶ ἀνισταμένῳ καὶ τροφῆς μετέχοντι καὶ ποτοῦ, τούτων ὑπάρχειν ἀχώριστον. Ἐν δὲ ταῖς ἀγρύπνοις ἀναγνώσεσι καὶ πρὸς Θεὸν ὁμιλίαις τόσῳ μάλιστα ὁ τῶν δακρύων πλεονασμὸς αὐτῷ προσετίθετο, ὡς ἐπαρκοῦν εἰς πᾶσαν ἐργασίαν ἔχειν τοῦτο ἀένναον, λέγω δὴ τὴν τῆς θείας ἀγάπης κίνησιν, τὴν κάθαρσιν τῶν ἐξ
f. 198[r] ἀγνοίας ὀλισ|μάτων, τὴν τῆς κρίσεως ἔννοιαν, τὴν τοῦ θανάτου ἀνάμνησιν, τὴν ἀποκειμένην τοῖς ἁμαρτάνουσι κόλασιν, τῶν οὐρανίων μονῶν τὴν ἀνάμνησιν, τὴν τοῦ μετεωριζομένου ἀνάκλησιν, τὸν ἐκ συμπαθείας ἐπὶ τοῖς ἁμαρτάνουσιν εὐκτικῆς δεήσεως ἔλεον, καὶ πολλῶν ἑτέρων τρόπων, ἐν οἷς ἅπασι τούτῳ τῷ καλλίστῳ κεχρημένος βοηθή-

223 *τελεσθήσεις* || 224 *ἀκολούθου* || 225 *σχήμα. οὐ τίνος* || 226 *πρὸς ἑτέθη* || 228 *οὐρανομίκης* | *πιξάμενος* || 232 *πάσα* | *φύλαξ* || 238 *ταύτης παραφύσιν* || 239 *ἔσχον* || 241 *ἀπειγορευμένον* || 242 *ἐπεμελίθη* || 243 *συνενευκῶς* || 247 *ὑπάρχει* || 249 *ἐπαρκεῖν* | 255 *κεχριμένος*

254 et suiv. *πολλῶν ἑτέρων τρόπων.* L'auteur s'est évidemment embrouillé dans sa périphrase; les génitifs qui précèdent bien que dépendant tous d'accusatifs lui ont sans doute suggéré cette anacoluthe. La suite est difficile à construire. Dans tous ces exercices, usant de ce précieux auxiliaire (les larmes), il s'aidait lui-même

ματι, ἑαυτῷ τε καὶ τοῖς πέλας ἐξήρκει εἰς τὴν ἐκ τούτου γινομένην παράκλησιν, εἰ δέ που καὶ περισσοτέρας †ἐπιμελουμένῳ ταπεινοφροσύνης, εἰς ἁμαρτιῶν ἀνάμνησιν, ὧν αὐτῷ οὐ κατείργαστο, τοῦτο μετωχέτευεν· φιλοῦσι γὰρ αἱ φιλόθεοι ψυχαὶ ἐν ταῖς τοιαύταις ἐργασίαις μάλιστα ἑαυτὰς ὁρᾶν ὑποκάτωθεν πάσης τῆς κτίσεως. †Τί χρὴ λέγειν, ὅσων ποταμίων ῥευμάτων τὰ ἐκ τούτων ῥεῖθρα μιμεῖσθαι εἰκάζοντι; Ἵνα δὲ μὴ μακρὸν ἀποτείνω λόγον τῶν τούτου δακρύων μεμνημένος τὸ πλῆθος, ὧν ἐκ τῆς θείας χάριτος ἐκεῖνος ἔσχε τὸ χάρισμα, ἐπὶ τὸ τῶν ἄλλων αὐτοῦ ἀρετῶν διήγημα τρέψω τὸν κάλαμον. Εὐχῆς μὲν γὰρ τοσοῦτον ἐπεμελήθη, ὡς ἑαυτὸν αὐτῷ τῷ Θεῷ συνάψαι, καὶ χωρῆσαι τὴν αὐτοῦ φαντασίαν ὅσον τοῖς δεσμίοις ἐφεῖται τῆς σαρκὸς εἰς τοιαύτην κατανόησιν. Πρῶτον γὰρ ἐκ τῶν ποιη|μάτων καταμαθὼν ἀκριβῶς f. 198ᵛ τὴν τοῦ πάντα ποιήσαντος δύναμιν, καὶ ἐκ ταύτης φωτισθεὶς τῆς πρώτης ἐργασίας, εἶτα τῆς οἰκονομίας Χριστοῦ ἐξερευνήσας τὸ μέγεθος, καὶ συσταυρώσας ἑαυτὸν τῷ ὑπὲρ ἡμῶν ἐπὶ σταυροῦ τὰς χεῖρας γενναίως ἐκτείναντι, καὶ πάντας ὑπελθὼν τοὺς βαθμοὺς τοὺς πρὸς τελείωσιν ἀναφέροντας, οὕτω τῆς τῶν θείων μυστηρίων κατατρυφᾶν ἀξιοῦται μυήσεως τε καὶ ἀπολαύσεως διὰ τῆς ἔξω σαρκὸς ἐν σαρκὶ γινομένης τοῖς ἐπιμόνως ἐν ταύτῃ σχολάζουσιν συναφείας Θεοῦ καὶ μεγαλοδώρου φιλοτιμίας. Τὸν οὖν τοιαύταις σχολάζοντα θεωρίαις καὶ πνευματικοῖς ἀριστεύμασιν οὐκ ἦν εἰκὸς ἀεὶ τοῖς πολλοῖς συναγελάζεσθαι, ἀλλ' ἐπὶ μικρὸν χρόνον ἑαυτὸν ἀποδιορίζων τῶν συνασκουμένων ἀδελφῶν, ἡνίκα πλείονος ἔρωτος τῆς πρὸς Θεὸν ὁμιλίας ἐκάλει καιρὸς, καὶ τοὺς ἄκρως ἡσυχωτέρους καταλαμβάνων τόπους τοῦ ὄρους, τὴν τῆς ἐπιθυμίας φλεγμονὴν ἀνέψυχεν. Καὶ ταύτης ὅσον ἐβούλετο κορενύμενος, πάλιν ἑαυτὸν τούτοις συγκατεμίγνυ, τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως καὶ ἀπρόσκοπος τοῖς τῶν βασκάνων ὀφθαλμοῖς ἀεὶ φυλαττόμενος. | Τοσούτοις δὲ κατορθώμασι φαιδρυνόμενος, ἀνάξιον f. 199ʳ ἑαυτὸν πάσης ἡγεῖτο τῆς ἀδελφότητος τῷ τῆς ταπεινοφροσύνης κάλῳ ταινιούμενος. Πᾶν γὰρ τὸ κατορθούμενον ταύτης χωρὶς ἀκατόρθωτον

268 παντὸς || 274 γινομένοις || 278 καιρὸν || 280 φθεγμονήν || 281 ἑαυτούς || 282 ἀπρόκοπος || 284 καλῷ

et il aidait son prochain εἰς τὴν παράκλησιν, à obtenir la consolation qui est le fruit des larmes. Le datif ἐπιμελουμένῳ est injustifiable. Il faudrait ἐπιμελούμενος ou ἐπεμελεῖτο· ὧν, accord du relatif. Lorsqu'il voulait atteindre à plus d'humilité encore, (il se servait de ce moyen) pour aboutir à la repentance de péchés qu'il n'avait pas commis. Cf. Macch. 1, 29 καὶ πάντα τρόπον μετοχετεύειν.

260 et suiv. Cette phrase obscure deviendrait à peu près claire si l'on avait: τί χρὴ λέγειν, ὅσων ποταμίων ῥευμάτων (τὸν) τὰ ἐκ τούτων ῥεῖθρα εἰκάζοντα (sc. χρὴ) μιμεῖσθαι. Que dire! Quels torrents devrait imiter (par son discours) celui qui voudrait évaluer la quantité des larmes versées!

καὶ ἀνεπιστήρικτον· τάχιστα γὰρ κυλίνδρου δίκην τῶν ἐπιβεβηκότων ἐπὶ ταύτης τῆς βάσεως ὑπεκτρέχον, ἐλεεινῷ πτώματι τοὺς ἐκπίπτοντας ὑποβάλλει. Συνεπηκολούθει δὲ τούτοις τοῖς κατορθώμασι καὶ ἡ οὐρανοπολῖτις ἐν σαρκὶ ἀπάθεια, ἧς ὁ πανδαμάτωρ τῶν παθῶν καταξίωται διὰ τὴν προκατορθωθεῖσαν τούτῳ τῶν τρόπων εὐθύτητα. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων, οὐδὲ τῶν τοῦ πνεύματος χαρισμάτων γέγονεν ἄμοιρος. Ἔνθεν νοσήματα χαλεπὰ τῷ τοῦ Δημητριανοῦ λόγῳ ἐφυγαδεύοντο, δαίμονες ἀπηλαύνοντο, παθῶν παντοίων ἡ θεραπεία ἐπηκολούθει. Ἦν οὖν ἐν μέσῳ τοῦ πνευματικοῦ συστήματος οἷα φωστὴρ παμφαὴς πάντας καταυγάζων τῇ λάμψει τῶν οἰκείων κατορθωμάτων, καὶ τύπος ὠφελείας γινόμενος τοῖς πρὸς αὐτὸν ἀτενῶς ἀεὶ βλέπουσι· οὐ μόνον δὲ τούτοις τοιοῦτος ἦν, ἀλλὰ καὶ τοὺς ἐν μέσῳ στρεφομένους
f. 199[r] τοῦ κόσμου, ὡς μαγνήτης ἕλκων παραπλήσιον | σιδήρῳ, τῆς οἰκείας ὠφελείας μετεδίδου· πολλοὺς δὲ τούτων καὶ τῆς τῶν ὀχλούντων παθῶν ἕνεκα θεραπείας, τὸ βιαιότατον τῆς ἀνάγκης πρὸς τοῦτον κατήπειγεν· οὐδεὶς δὲ τῶν ἐλπίδων κενὸς ἀπεπέμπετο, ἀλλὰ πάντες τῶν ποθουμένων δαψιλῶς ἀπολαβόντες, χαίροντες τὰ οἰκεῖα κατελάμβανον. Καὶ γὰρ καὶ τοῖς θεραπείας ἕνεκα παραγινομένοις, προηγουμένως τὴν ψυχικὴν ὠφέλειαν διὰ τῆς διδασκαλίας προετίθει, καὶ οὐ πρότερον ἡ τῶν σωματικῶν ἐπηκολούθει παθῶν ἀπαλλαγή, πρὶν ἡ τῆς ψυχικῆς δυνάμεως χωλεύουσα ἐνέργεια τὴν θεραπείαν ἐδέχετο· εἶθ' οὕτως δευτέρᾳ τάξει τὸ σωματικῶς ἀρρωστοῦν ὑγιάζεται· καὶ ἦν ὁ αὐτὸς ἡδὺς ἅπασι καὶ τοῖς παρὰ τοῦ σωτῆρος δι' αὐτοῦ δεχομένοις τὴν θεραπείαν, καὶ τοῖς διὰ θείαν τινὰ οἰκονομίαν ταύτης ἀστοχοῦσι τῆς χάριτος· τοῖς μὲν γὰρ εὐεργέτης, τοῖς δὲ παράκλησις γινόμενος, πάντας ἀλύπως ἀπέπεμπε. Ἡ γὰρ τοῦ λόγου τούτου ὠφέλεια πάσης θεραπείας τῷ ταύτης ὑστερουμένῳ χρησιμωτέρα ἐγίνετο. Διὸ καὶ πάντες καὶ τὴν νουθεσίαν καὶ τὴν θεραπείαν ὡς ἐκ θείας ἐνεργείας λαμβάνοντες, σὺν μεγίστῃ εὐφροσύνῃ ὑπέστρεφον.
f. 200[r] Ταύτης τῆς φήμης | καὶ ὁ τῆς Χυτρίδων πόλεως ἐπίσκοπος Εὐστάθιος ἔργον ἐγένετο — ἀληθὴς γὰρ ἡ λέγουσα παροιμία ὅτι „φήμη ἀγαθὴ πιαίνει ὀστᾶ“. τὴν γὰρ πιότητα δεξάμενος ἐν καρδίᾳ τὴν γεωργοῦσαν ταύτην ῥίζαν θεάσασθαι ἐπεθύμησεν, καὶ ἐπιθυμήσας εὗρε, καὶ εὑρὼν τῷ ἰδίῳ παραδείσῳ μεταφυτεῦσαι ἠθέλησεν, καὶ θελήσας τοῦ ἔρωτος οὐκ ἠστόχησεν, καὶ πάλιν τῇ ῥίζῃ εἰς τὴν ἰδίαν μετακλινούσῃ γῆν ἀκώλυτον ἐδίδου τὸ μέγα φύτευμα. Τὸ γὰρ ἀειθαλὲς αὐτῆς πεῖρα μαθὼν καὶ ἀείζωον, οὐδεμίαν λύμην ταύτην ὑποστῆναι καλῶς ὑπελάμ-

287 ὑπεκτρέχων || 288 συνεπικολούθει || 288. 289 οὐρανοπολίτης || 293. 294 ἐπικολούθει || 295 παμφαείς || 298 οἰκίας || 300 κατήπηγεν || 302 ἀπολάβοντες. Faut-il écrire ἀπολαύοντες? || 303 τῆς || 304. 305 ἐπικολούθει || 316 πειότητα || 317 ἐπεθύμησεν εὗρε || 319 μετακλινοῦσι || 320 πείρα.

315—316 Prov. 16, 2 (15, 30).

βανεν ἐκ τῆς ὧδε κἀκεῖσε μετοχετεύσεως. Ὅρα γὰρ τὸ ἐσόμενον. Ἀνελθὼν πρὸς τὸν ὅσιον ὁ εἰρημένος ἐπίσκοπος Εὐστάθιος καὶ καταμαθὼν πᾶσαν τὴν τοῦ βίου τούτου ἀκρίβειαν, πολλαῖς ἱκεσίαις καὶ παρακλήσεσι λιπαρήσας τὸν ἐν παντὶ ἀναντίλογον, πείθει καὶ μὴ βου- 325
λόμενον τὸ ἐπισκοπεῖον σὺν αὐτῷ καταλαβεῖν. Καὶ τούτου γεγονότος, πρεσβύτερον τὸν μακαριώτατον χειροτονεῖ Δημητριανόν, καὶ διὰ τῆς ὑφεδρίας ταύτης τὴν προεδρίαν πόρρωθεν ὑπεμφαίνει τῆς πόλεως, οἰκονόμον τε πάντων τῶν ὑπὸ τὴν αὐτοῦ ἐκκλησίαν διοικουμένων κατέστησε πραγμάτων. | Ὅθεν οὐκ ἄμισθον αὐτῷ τὸ τῆς οἰκονομίας f. 200ᵛ
ἔργον, εἰ καὶ δεύτερον τοῦ προτέρου γέγονε βίου, εἰς τὴν τῶν λειπο- 331
μένων ἀρετῶν ἐπανάληψιν. Καὶ γὰρ τὸν πρῶτον κανόνα τῆς ἀσκήσεως τηρῶν ἀπαράτρωτον, τῶν συντρόφων εἴχετο πόνων ἔν τε νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ταῖς ἄλλαις τῶν ἀγαθῶν ἐργασίαις. Τὸ γὰρ ἄλλοις δυσεπιχείρητον ἢ καὶ ἀδύνατον — ἀληθὴς γὰρ ἡ λέγουσα τοῦ Κυρίου 335
φωνή, οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν — τούτῳ παραδόξως ἀνεμπόδιστον γέγονεν, ὡς εἶναι μᾶλλον μετὰ πάντων καὶ τοῦτο θείας οἰκονομίας ἔργον, εἰς ἐκκοπὴν παντοίας ἀφορμῆς τῶν νωθρῶς καὶ ἠμελημένως ἅπασαν τεμνόντων βίου ὁδόν. Ἐκ πάντων γὰρ τῷ βουλομένῳ πολλαὶ τῶν ἀρετῶν αἱ βλαστήσεις ἐκφύουσι πρὸς τὴν τῆς σωτηρίας 340
ἀνάληψιν. Ἐκ δὴ τούτων τῶν τῆς οἰκονομίας ἐπιχειρημάτων πᾶσιν ὑπῆρχεν ὁ μακαρίτης Δημητριανὸς εὐπρόσιτος, γαληνός, πρᾶος, ἡσύχιος, μέτριος, συμπαθὴς καὶ τούτοις οὐ φαινόμενος μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις βεβαιούμενος, πᾶσαν δὲ χορηγίαν πένησι καὶ πτωχοῖς, ὀρφανοῖς τε καὶ χήραις ἐκ τῶν παρὰ Θεοῦ ἐμπεπιστευμένων αὐτῷ δωρεῶν πλου- 345
σίως οἰκονομῶν, | προῖκα χρηστὸς ἦν. Συνεπηκολούθει δὲ τούτοις ἅπασι f. 201ʳ
τῇ μακαρίτῃ καὶ ἡ ἄνωθεν αὐτῷ δεδομένη παρὰ τοῦ ἁγίου πνεύματος χάρις τῶν ἰαμάτων. Τὰς γὰρ ἀλεξικάκους αὐτοῦ παλάμας ἅπασιν ἀφθόνως ἐπιτιθεὶς τοῖς χρήζουσιν, τὴν τῶν θαυμάτων χάριν ἐβράβευεν, ἔνθεν πάλιν δαίμονες ἀπηλαύνοντο, ἐδραπέτευον νόσοι, καὶ πάθη παν- 350
τοῖα ἐθεραπεύοντο. Ἡ γὰρ τοιαύτη χάρις αὐτῷ προπεπρωμένη τυγχάνουσα μέχρι βίου παντὸς ταῖς ὑπαλλαγαῖς τῶν βίων ἀχωρίστως συνῴκησεν· ἀμεταμέλητα γὰρ τὰ τοῦ Θεοῦ χαρίσματα καὶ αἱ δωρεαὶ κατὰ τὸν θεῖον ἀπόστολον.

---

328 ὑφαιδρείας ‖ 331. 332 λιπομένων ‖ 338 νοθρῶς ‖ 339 ἠμελιμένος ‖ 346 συνεπικολούθει ‖ 351 προπεποιωμένη cf. 476

---

327. 328 *διὰ τῆς ὑφεδρίας ταύτης τὴν προεδρίαν πόρρωθεν ὑπεμφαίνει*, „faisant présager de loin, par cette fonction inférieure, la charge épiscopale qui attendait Démétrianos". Ὑφεδρία s'oppose à *προεδρία*; et *πρόεδρος* était à l'époque byzantine, synonyme d'évêque. C'est le titre que se donnent eux-mêmes les prélats sur les bulles de plomb (V. Schlumberger, *Sigill. de l'Empire byzantin*, passim).
352 2. Cor. 7, 10. Rom. 11, 29.

Οὕτω μὲν οὖν ὁ μέγας Δημητριανὸς, ἐπὶ χρόνους ἱκανούς, οἰκονόμος τῶν τοῦ Θεοῦ γενόμενος πραγμάτων, καὶ πολλοῖς ἐκ τούτου τοῦ ἐγχειρήματος φανεὶς ἐπιτήδειος, τῷ ἔρωτι πάλιν τῆς πρώτης βληθεὶς ἡσυχίας, καὶ πολλαῖς ἱκεσίαις τὴν τοῦ ἐπισκόπου Εὐσταθίου χαυνώσας τῆς ἐνστάσεως στερρότητα, πρὸς τὸ ἑαυτοῦ ἐξαποστέλλεται μοναστήριον, ταῖς καλαῖς ἐλπίσι τῆς πρὶν ἀποβουκολούμενος ἡσυχίας, ἀλλὰ πάλιν αὐτὸν ἑτέρα φροντὶς μείζων τῆς προτέρας διαδέχεται· μήπω γὰρ | f. 201ᵛ τῶν ἐντὸς ὁδῶν τῆς ἰδίας μονῆς ἐπιβὰς ὁ ταύτης τὴν ἡγεμονίαν ἰθύνων μακαριώτατος ἀββᾶς πρὸς τὴν ἀγήρω ζωὴν μετατίθεται. Εὗρε δὲ πάντας τοὺς πνευματικοὺς ἀδελφοὺς αὐτοῦ τὴν ἑαυτῶν ἀποδυρομένους ὀρφανίαν, καὶ μεγάλης τραγῳδίας τὸ δρᾶμα τούτοις ὑπάρχον παραίτιον. Ἀλλὰ τὸν μακαρίτην ἰδόντες Δημητριανὸν καὶ τὴν ἀθυμίαν ἐκείνην πᾶσαν ἀφ' ἑαυτῶν ἐκτιναξάμενοι, εἰς ἱκεσίαν τρέπονται τούτου, καὶ πολλοῖς αὐτὸν πείσαντες δάκρυσι τὴν τούτων ἀναδέχεται προστασίαν, ἔργῳ καὶ ἐν τούτῳ τὸν μακάριον μιμούμενος ἀπόστολον μὴ τὸ ἑαυτοῦ ζητῶν, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα τῆς ἐν Χριστῷ Ἰησοῦ τύχωσι σωτηρίας. Ἆρ' οὖν οὕτω μὲν τὴν προστασίαν ἐδέξατο, ἐβίω δὲ ἀναξίως ταύτης, ἢ συνετῶς μὲν ἐπιδεικτικῶς δέ, ἢ τετυφωμένως μὲν καὶ ὑπεροπτικῶς δέ, ἢ κατήσχυνέ τι τῶν τοῦ προτέρου βίου καλῶν, ὡς ἄν τις τὸ ἐκ ταύτης ἐμποδῶν προβαλλόμενος; Οὐ μὲν οὖν, ἀλλ' ὁμοῦ τὰ πάντα ἔχων ἐν ἑαυτῷ τῆς πρώτης τέ φημι ἡσυχίας καὶ τῆς οἰκονομικῆς ἐπιστήμης, ἀρίστως τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην διΐθυνεν, ὡς εἶναι πάντα f. 202ʳ τὰ ἐπ' αὐτῷ | προλαβόντα, θείας οἰκονομίας γνωρίσματα. Ἐξ ἀμφοτέρων γὰρ τὴν ἰσχὺν προσλαβόμενος εἰς μίαν ἐπιστημόνως ἐμπειρίαν καλῶς συνεκέρασε. Φρόνιμος δὲ λίαν ὑπάρχων, τῆς ἐπαινουμένης ἁπλότητος οὐκ ἐλείπετο ἀλλὰ καὶ τούτοις ἄριστος ὤφθη διαιτητής· οὔτε γὰρ τὸ φρόνιμον ἀσυγκατάθετον εἴασε, οὔτε τὸ ἁπλοῦν ἀνοικονόμητον. Πάντα δὲ ὁμοῦ εἰς ἓν τὰ τῶν ἀγαθῶν συλλέξας ἀποτελέσματα, μίαν στήλην ἐξ ἁπάντων τὸν ἐκείνου βίον ὁρᾶσθαι πεποίηκε, οὐ μόνον τοῖς ἐπηκόοις, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς αὐτὸν πίστει συντρέχουσιν ὠφελείας ὁμοῦ καὶ ἰαματικῆς ἕνεκα χάριτος. Ἦρκει γὰρ καὶ μόνον βλεπόμενος Δημητριανός, πάσης ἐντέχνου διδασκαλίας τε καὶ παιδεύσεως χωρίς, τοὺς λείποντας τῇ ἑκάστου ψυχῇ τῶν ἀρετῶν ἐντυπῶσαι χαρακτῆρας. Τούτων οὕτως Θεοῦ χάριτι καλῶς οὐρανοδρομούντων, ὁ τῆς Σαλαμινίων μητροπόλεως ἀρχιεπίσκοπος πρὸς Κύριον ἐξεδήμησε, πάντων δὲ τῶν ὑπὸ τὴν Κυπρίων τελούντων νῆσον ὁσιωτάτων ἐπισκόπων, συμψήφων καὶ ὁμογνωμόνων γεγονότων, προβάλλονται τὸν εἰρημένον ἐπίσκοπον f. 202ᵛ Εὐστάθιον τῆς Χυτρίδων πόλεως ὡς ἐν ἅπασι ἱκανώτατον | εἰς τὴν

357 ἐπιτίδιος ‖ 363 ἀγείρω ‖ 365 τὸ δράμα ‖ 366 εἰδόντες ‖ 372 τετυφωμένος ‖ 376 διήθυνεν ‖ 385 ἕνεκε(?)

369—370 1. Cor. 10, 33.

τῆς πρώτης αὐτῶν καθέδρας ἀρχήν. ὁ μὲν οὖν οὕτως τὴν τοῦ μεγάλου ἀποστόλου Βαρνάβα καθέδραν καὶ τοῦ ὕστερον διαλάμψαντος φωστῆρος τῆς οἰκουμένης Ἐπιφανίου διαδεξάμενος ἐν οὐδενὶ τῶν ἁπάντων τῆς ἀρετῆς χαρακτήρων τῶν προηγησαμένων γέγονε δεύτερος, ἀλλ' ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως τὴν ἐμπεπιστευμένην αὐτῷ ἴθυνε ποίμνην κατὰ τὸν πρέποντα κανόνα τῇ ἀρχιερατικῇ τελειότητι. Ἐπειδὴ δὲ τὴν πρώτην αὐτοῦ ποίμνην ἀποίμαντον καταλέλοιπε, διὰ σπουδῆς μεγάλης ἐτίθετο τὸν ἄξιον ταύτης εὑρεῖν ποιμένα τε καὶ διδάσκαλον. Καὶ δὴ εἰς ἀνάμνησιν ἐλθὼν τοῦ μακαριωτάτου Δημητριανοῦ, βουλὴν ἀρίστην καθ' ἑαυτὸν βουλευσάμενος, τοῦτον ὡς ἐπ' ἄλλῳ τινὶ ἠθέλησεν πρὸς ἑαυτὸν μεταστείλασθαι, καὶ τῆς εἰρημένης πόλεως Χυτρίδων χειροτονῆσαι ἐπίσκοπον, ἐγίνωσκε γὰρ τὸν πρότερον αὐτοῦ βίον, καὶ τὴν ἐκ τοῦ ἁγίου πνεύματος δεδομένην αὐτῷ τῶν ἰαμάτων χάριν. Ὁ δέ γε Κύριος ὁ ἀποκαλύπτων τοῖς δούλοις αὐτοῦ ἅπαντα τὰ μυστήρια, ὁ καὶ ἐν τοῖς προφήταις ἐνεργήσας τῇ τοῦ ἁγίου πνεύματος χάριτι, καὶ τῷ Δανιὴλ τὴν τῶν ἐνυπνίων δηλώσας σύγκρισιν· ὁ τῷ | Ἐλισσαίῳ φανερώσας τὴν f. 203r βουλὴν τοῦ τῆς Συρίας ἄρχοντος κατὰ τῶν υἱῶν Ἰσραήλ, οὗτος τούτῳ διά τινος θείας ἐμφανείας τὰ κατ' αὐτοῦ μελετώμενα ὑποδείκνυσιν, καὶ ταῦτα μαθὼν οὐκ ἐξ ἀνθρωπίνης ἀγγελίας, ἀλλ' ἐκ θείας δυνάμεως τὰ ἐν χερσὶ καταλιπὼν ἅπαντα καὶ μόνοις τοῖς ποσὶ συνεργοῖς πρὸς τὴν φυγαδείαν χρησάμενος, λάθρα τῆς μονῆς ἀνεχώρησε, καὶ καταλαβὼν τὰ βορειότερα μέρη τοῦ ὄρους, τόπον ἀποκρυβῆς ἑαυτῷ περιεσκόπει, τὸ τῆς ἀρχιερωσύνης φεύγων ἐγχείρημα. Τοῦτο δὲ διὰ πολλῆς ποιούμενος φροντίδος ὁ μακαρίτης καὶ τοῦ προκειμένου μὴ ἐπιτυγχάνων σκοποῦ, παραγίνεται πρός τινα γνήσιον αὐτοῦ φίλον, Παῦλον ὀνόματι, καὶ τὸν σκοπὸν τῆς αὐτοῦ φυγῆς φανερώσας τούτῳ, παρακαλεῖ τόπον αὐτῷ ὑποδεῖξαι τὸν ἄγνωστον πᾶσιν, ὅπως ἐν αὐτῷ τὴν οἴκησιν ποιησάμενος τοῖς τῶν ζητουμένων ὀφθαλμοῖς ἀθεώρητος διαμείνῃ. Ὁ δὲ καὶ ὑποδείξειν ὑπέσχετο, καὶ τῆς προθυμίας οὐδὲν ἀποδέοντα· „εἰ γὰρ βούλοιτο μέχρι βίου παντὸς οὐδενὶ τῶν ἁπάντων κατάδηλος γενήσεται". Ὁ δὲ ἅγιος ἐπὶ τοῖς Παύλου λόγοις μεγάλως ἡσθεὶς | σὺν αὐτῷ τὸν f. 203v τόπον κατέλαβε. Σπήλαιον δὲ σμικρότατον ὑπῆρχεν παρὰ ταῖς ὄχθαις τῆς θαλάσσης, ἀπηωρημένον, φοβερώτατον καὶ λίαν δύσβατον, εἰς ὃ μετὰ πολλῆς ἀνῆλθε τῆς προθυμίας ὁ μακαρίτης, τὸ τῶν ἀνθρώπων κενὸν διαφεύγων δοξάριον, ὁρκώσας δὲ τὸν Παῦλον, μηδενὶ τῶν ἁπάντων ποιῆσαι τοῦτον κατάδηλον, οὕτως ἀνέκαμψεν. Ὁ δὲ Παῦλος εἰς τὸν ἑαυτοῦ οἶκον ἀπελθών, λεληθότως τῷ ἁγίῳ πᾶσαν ὑπηρεσίαν ἐποίει. Ὁ δὲ ἀρχιεπίσκοπος Εὐστάθιος ἀποστείλας ἐν τῷ μοναστηρίῳ, ἐζήτει τὸν μακάριον καὶ μὴ εὑρών, ἀπέστειλε πανταχοῦ μετὰ πάσης

419 ὑπόδειξιν

ἐπιμελείας τοῦτον ἀνερευνώμενος. Ἐπεὶ οὖν ἀδύνατον ἦν τὸν τοιοῦτον λύχνον ἐν τῷ ἀφεγγεῖ ἐκείνῳ μοδίῳ καλύπτεσθαι, φανεροῖ αὐτὸν ὁ Κύριος τρόπῳ τοιῷδε. Ἀνὴρ γάρ τις τῶν ἐν τοῖς μέρεσιν ἐκείνοις ἐν οἷς ὁ ἅγιος λαθεῖν ἐνόμιζε, τοῦτον μετὰ τοῦ Παύλου ἀφανῶς θεασάμενος, κατάδηλον τοῖς ἐρευνῶσι πεποίηκε· καὶ τὸν τόπον δὲ καθ' ὃν ὁ Παῦλος ᾤκει, καὶ τὴν κώμην ὑπέδειξε, καὶ αὐτὸν τὴν τοῦ ἁγίου ἀποκρυβὴν εἰδέναι διϊσχυρίσατο. Οἱ δὲ τὸν Παῦλον συλλαβόμενοι, καὶ πολλαῖς
f. 204r πρότερον λιπαρήσαντες παρακλήσεσιν ὑποδεῖξαι τούτοις τὸν τοῦ θεοῦ δοῦλον Δημητριανόν, ὡς ἀνανεύοντα εἶδον καὶ ἄκαμπτον πάντη πρὸς τὸ αὐτοῖς καταθύμιον, ἐπὶ μάστιγας τρέπονται, καὶ τοῦτον οὐ μετρίως ταῖς τῶν βουνεύρων πληγαῖς αἰκισάμενοι ἰσχυροτέραν τῆς ἐνστάσεως τὴν βίαν πεποιήκασιν. Ἄκων γὰρ ταῖς ἐκ τῶν μαστίγων ἀνάγκαις στρεβλούμενος, τῶν ὅρκων παραβάτης γενέσθαι καταναγκάζεται, καὶ σὺν τάχει πολλῷ τὸν τόπον καταλαβὼν τοῖς ζητοῦσι κατάδηλον πεποίηκε. Ὡς δὲ τόπον ἐθεάσαντο ἀνῆλθον ἐν τῷ σπηλαίῳ πρὸς τὸν ἅγιον καὶ ὑποδεικνύουσιν αὐτῷ τὸ τοῦ ἀρχιεπισκόπου Εὐσταθίου ἔνταλμα καὶ τὴν τούτου ἀνυπέρθετον ἀπῄτουν ἐκπλήρωσιν. Ὁ δὲ μετὰ πολλῶν καὶ ἀφάτων δακρύων τοῦ σπηλαίου ὑπέξεισι, μηκέτι δυνάμενος ἀνανεύειν, διὰ τὸ μὴ δύνασθαι ἀσφαλεστέραν ταύτης εὑρεῖν τῆς ἀποκρυβῆς οἴκησιν, ἴσως δὲ καὶ θείας ἐμφανείας ἐν τούτῳ σχολάζων κατηξίωται εἰς τοῦτο ἀγούσης αὐτὸν καὶ μὴ βουλόμενον, παραγενόμενος οὖν σὺν αὐτοῖς πρὸς τὸν ἀρχιεπίσκοπον Εὐστάθιον πρῶτον μὲν τὸν ἐν Κυρίῳ ἀσπασμὸν τούτῳ ἀπέδωκεν, καὶ παρ' αὐτοῦ ὁμοίως ἀντεδέξατο. Ἔπειτα περὶ τῆς προ-
f. 204v κειμένης ἤρετο συζητήσεως. | Ὁ δὲ καὶ τὸν σκοπὸν εἶπεν, καὶ τὸ πρὶν ἀλάθητον δι' οἰκείας ἐφανέρου γλώσσης. Ὁ δὲ μακαριώτατος Δημητριανὸς· „Ἀντέλεγον ἄν σοι, τιμιώτατε δέσποτα, καὶ σκληρότερος τῆς πρώην ἐδεικνύμην ἐνστάσεως, εἰ μὴ θείας ἔγνων εἶναι προνοίας τὸ τελούμενον". Ὁ δὲ ἀρχιεπίσκοπος „Ἐν τοῖς ἀμφιβόλοις τὴν τῆς ἀντιλογίας ἰσχὺν ἀρίστην εἶναι διδασκόμεθα, πάτερ Δημητριανέ, ἐν δὲ τοῖς τῶν καλῶν ὁμολογουμένοις ἀναμφίλεκτον ἔχειν τὸν λογισμόν· ἢ οὐκ οἶδας ὅσα δι' ἀντιλογίαν ὑπέστη κακὰ ὁ παλαιὸς ἐν τῇ ἐρήμῳ λαός"; Ὁ δὲ μακαρίτης· „Καὶ νῦν ἔχεις με νενικημένον ὡς πρότερον. Ἀντιλέγειν γὰρ Θεῷ ἐπικίνδυνον". Ἐν τούτοις τῆς συνήθους ὑπηρεσίας γενομένης τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἀναδείκνυσι τοῦτον τῆς προειρημένης Χυτρίδων πόλεως ἐπίσκοπον, διὰ τῆς ἰδίας χειρὸς τὴν τοῦ παναγίου ⟨πνεύματος⟩ δηλώσας ἐπὶ τῇ τοῦ μακαρίου Δημητριανοῦ κεφαλῇ ἐπιφοίτησιν, καὶ τὴν ἀναίμακτον θυσίαν τοῦτον ποιήσας προσαγαγεῖν, τὴν θείαν μυσταγωγίαν τετέλεκε. Οὕτως τε ἐν τῷ ἐπισκοπείῳ φιλοφρόνως αὐτὸν δεξιωσάμενος καὶ πάνδημον ἑορτὴν ἐκτελέσας, μετὰ

439 ὑποδείξαι ‖ 450 οἴκεισιν ‖ 461 ὡμολογουμένοις

πολλῆς περιφανείας καὶ | φιλοφροσύνης, πρὸς τὴν αὐτῷ ἐγκεχειρισμένην f. 205r
ἐξαπέστειλε πόλιν· ἐν ᾗ πρὸ πολλῶν ἄλλων, Πάππος τε καὶ Ἀθανάσιος
οἱ τῷ τῆς φύσεως συνδέσμῳ ὡς τῷ τοῦ πνεύματος συνδεόμενοι, καὶ
μεγάλων αὐτουργοὶ θαυμάτων γενόμενοι, κατὰ διαδοχὴν τὴν καθέδραν
ἐδέξαντο. Ὑπεδέχθη οὖν παρὰ πάντων μετὰ πάσης εὐφροσύνης ἀγαλ- 475
λιάσεώς τε καὶ περιφανοῦς δεξιώσεως. Προπεπυσμένοι γὰρ ὑπῆρχον
τῶν εὐεργεσιῶν τούτου καὶ ἰαματικῶν δωρεῶν, ἐκ τῆς πρώην αὐτῶν
συνδιατριβῆς, ἡνίκα ταύτης τῆς ἐπισκοπῆς τὴν οἰκονομικὴν φροντίδα
ἀμέμπτως διήνυσεν.

Ὁ δὲ μακαρίτης Δημητριανὸς ταύτης τῆς πόλεως ἐπειλημμένος 480
τοὺς οἴακας πᾶσαν ἐπιμέλειαν ποιμαντικῆς ἐπιστήμης ἐν αὐτῇ ἐπεδείξατο.
Εἰς κάλλος γὰρ καὶ μέγεθος ταύτην αὐξήσας τῇ τοῦ ἐνδυναμοῦντος
Θεοῦ χάριτι, πᾶσαν ἀρετῆς καλοκἀγαθίαν ἐν αὐτῇ κατεφύτευσε. Ταῖς
ἐκκλησιαστικαῖς οὖν μεριζόμενος φροντίσιν τῶν τῆς ἐρήμου καλῶν
ἑαυτὸν οὐκ ἐγύμνωσεν, ἀλλὰ ἀπὸ δόξης εἰς δόξαν κληθεὶς τὸ τῆς 485
τελειότητος ὕψος κατείληφε. Ὅσα γὰρ τούτῳ ἐν τῇ ἐρήμῳ διὰ τὴν
σπάνιν παρημέληντο τῶν ἀρετῶν ἀρι|στεύματα ἐνταῦθα, τῆς ὕλης, f. 205v
δαψιλῶς ὑπαρχούσης, μετὰ προσθήκης κατώρθωσε, λέγω δὴ τὴν τῶν
πενήτων ἐπιμέλειαν, τὴν τῶν χηρῶν προστασίαν, τὴν τῶν ὀρφανῶν
ἀντίληψιν, τὴν τῶν ἀδικουμένων ἐκδίκησιν, τὴν τῶν ξένων δεξίωσιν, 490
τὴν τῶν ἀσθενούντων ἐπίσκεψιν, τὴν τῶν ἐν φυλακῇ συμπάθειαν, τὴν
τῶν γυμνῶν ἀμφίασιν, τὴν τῶν πεινώντων τροφήν, τὴν τῶν διψώντων
ἀνάψυξιν, τὴν τῶν μαχομένων εἰρήνην· τοῖς πᾶσιν ἁπλῶς ἦν ἰδεῖν
τοῦτον προσνοούμενον ὡς πατέρα καὶ πᾶσι πάντα γινόμενον ἵνα πάντας
κερδήσῃ, κατὰ τὸν μέγαν ἀπόστολον. Τῶν γὰρ τοῦ Θεοῦ δωρεῶν οὐκ ἔχων 495
[[ὡς]] ἀνθρώποις ὑπέχειν λόγον, [[καὶ]] ⟨ὡς ὅτε⟩ οἰκονομικὴν ἐμπεπιστευ-
μένος ἦν διακονίαν, ἀλλὰ κυρίως καὶ ἐλευθερίως ἁπάντων ἔχων τὴν ἐξου-
σίαν, κυρίως καὶ ταύτας διένεμε, ἐπαρκῶν μὲν ἅπασι τοῖς διαφόροις συνε-
χομένοις θλίψεσιν, μετὰ δὲ πάντων καὶ σὺν τούτοις, τυφλοῖς τε καὶ
ἀναπήροις, ἀδυνάτοις τε καὶ πτωχοῖς, μάλιστα τοῖς ὑπὸ τῆς ἱερᾶς νόσου 500
συνεχομένοις καὶ παντοίαν λώβην ἐκ ταύτης ὑφισταμένοις, αἰχμαλώτους
ῥυόμενος, τοὺς ἐν ἀνάγκαις λυτρούμενος, ξένους δεξιούμενος, | τῶν f. 206r
οἰκείων ἐπιμελούμενος ὅτι μάλιστα· ταῦτα Δημητριανὸς ἐν τῷ τῆς ἐπι-

476 προπεποιωμένοι || 488 κατόρθωσε || 489 χειρῶν || 492 πεινόντων | διψόντων || 495 κερδήσει || 496 ὑπέχων | λόγων || 499 θλήψεσιν || 500 ἀναπείροις || 501 συνεχομένους | ὑφισταμένους

476 *Προπεπυσμένοι*. Au lieu de ce participe, le scribe a écrit *προπεποιωμένοι*; cette forme rare et savante doit en effet avoir souvent égaré les copistes. Appien, Civ. 2 143 (II p. 826 Mendelssohn) *τυράννου μὲν κατηγορίας προπεπυσμένοι*. A (= cod. Augustanus) *προπεπωμένοι* d'où Bekker fit *προπεπομένοι*. — L. 351, le même *προπι-ποιωμένος* cache une autre forme. 494—495 cf. 1. Cor. 9, 19—21.

σκοπῆς κατώρθωσεν ἀξιώματι, ἅπερ ἐν τῇ ἐρήμῳ διὰ τὴν σπάνιν οὐκ
505 ἦν τούτων ἐπιμελήσασθαι. Καὶ οὗτος τῶν ἐκ τοῦ κόσμου μετέχων
ἀγαθῶν πλεονεκτημάτων, τῶν τῆς ἐρήμου καλῶν οὐχ ὑστέρει τὸν ὑπ'
αὐτοῦ ποιμαινόμενον ⟨λαὸν⟩, ἀλλ' ἦν ἅπασι πρᾷος, γαληνὸς, ἡσύχιος,
φίλος, ἱκέσιος, εὐπρόσιτος, συμπαθής, μέτριος, θείας φιλανθρωπίας
ἀνάπλεος. Πρὸς τούτοις δὲ πᾶσι καὶ ἰατρείαν ἦν καλὴν παρέχων τοῖς
510 χρῄζουσι. Τῷ γὰρ λόγῳ, ἅλατι ἠρτυσμένῳ, τὸ τῆς ψυχῆς ἄναλον ἤρτυεν,
τῷ δὲ χαρίσματι τῶν ἰαμάτων πᾶσαν ἀπήλαυνεν νόσον καὶ μαλακίαν
κατὰ τὸ λόγιον, οὐ τέχνῃ χρώμενος ἰατρικῇ τῶν ἐξ Ἱπποκράτους καὶ
Γαληνοῦ βοηθημάτων, Χριστοῦ δὲ μόνον τῇ θελήσει καὶ τῇ τοῦ σταυροῦ
σφραγῖδι ἡ ⟨θ⟩οθεῖσα τούτῳ χάρις τῶν ἰαμάτων ἐπηκολούθει, ἔνθεν δαι-
515 μόνων πάλιν ἐφυγαδεύετο πλήθη τῷ λόγῳ Δημητριανοῦ, καὶ οὐ λόγῳ
μόνῳ ἀλλὰ καὶ τῇ κλήσει. Ἐκ μακρῶν γὰρ διαστημάτων οὐκ ἔλαττον
τοῦ λόγου ἡ χάρις ἐνήργει· τὸ δὲ τούτων ἔτι παραδοξότερον, ὅτι καὶ
f. 206[v] μετὰ τὴν τοῦ σώματος διάλυσιν, ἡ ἰαματοφόρος χάρις τῶν | αὐτοῦ
λειψάνων οὐκ ἀπεζεύχθη, ἀλλ' ἦν ἐκ τῆς ἄνωθεν εἴληφεν χειρὸς ταύ-
520 την καὶ μετὰ ⟨τὸ⟩ τέλος ἔσχεν ἀναλλοίωτον· εἰς βεβαίωσιν μὲν τῶν
αὐτοῦ μέχρι τέλους ἀγωνιστικῶν παλαισμάτων, δόξαν τε καὶ αἶνον τοῦ
δοξάζοντος αὐτὸν διὰ βίου παντός [δοξάζοντάς τε καὶ μεγαλύνοντας].
Μικρὸν δὲ ἔτι τῇ ἐν σαρκὶ αὐτοῦ βιοτῇ προσδιατρίψαντες, καὶ ἓν ἢ
δύο τῶν ὑπ' αὐτοῦ γενομένων διηγησάμενοι, οὕτω τῇ τοῦ βίου τούτου
525 καταλύσει τὸν λόγον συγκαταλύσομεν, πάσης διηγήσεως θαυμαστικῆς
πιστοτέραν τὴν ὄψιν τῶν βουλομένων κρίναντες. Οἱ γὰρ τοῖς ἡμετέροις
μὴ πειθόμενοι λόγοις, ἐπὶ τῇ ἰαματοφόρῳ λάρνακι τοῦ ἁγίου παρα-
στάντες, αὐταῖς ὄψεσι διδαχθήτωσαν τὴν ἐκβλύζουσαν τοῦ μύρου πηγήν,
ἐξ ἧς δραπετεύει τῶν νοσημάτων ἡ ὄχλησις.

530 Ἔτι δὲ αὐτοῦ ἐν σαρκὶ διατρίβοντος, τῷ γήρᾳ πιεζομένου, καὶ
τὴν ἐκεῖθεν ἀνάλυσιν ἐκδεχομένου δι' ἧς ὁ τῆς δικαιοσύνης ἀπάρχεται
στέφανος, γέγονεν ἐπανάστασις Βαβυλωνίων βαρβάρων κατὰ τὴν τῶν
Κυπρίων νῆσον, οὐ φόρων παραβάσεως ἐγκαλ⟨εῖν αὐτ⟩οὺς ἐχόντων, |
f. 207[r] οὐκ ἐπαναστάσεως αἰτίαν, ἀλλὰ τὸν λῃστρικὸν τρόπον συνεργὸν ἐχόν-
535 των, καὶ τὴν ἔμφυτον ἀγριότητα. Οἱ ταύτης ἐπιβάντες τῆς νήσου καὶ
πολλὰς λῃϊσάμενοι χώρας, πλῆθός τε ἀπείρων αἰχμαλώτων συναγαγόντες
καὶ πολλὴν προνομὴν ποιησάμενοι σκύλων, ἦκον καὶ ἐπὶ ⟨τὴν⟩ τοῦ
μακαριωτάτου Δημητριανοῦ πόλιν, καὶ ταύτην λαφυραγωγήσαντες καὶ
ἐξανδραποδισάμενοι, πρὸς ἥνπερ ὥρμηντο, μετὰ τάχους ἀπέστρεψαν,

---

504 κατόρθωσεν | σπάνην || 506 τὴν || 508 συμπαθείς || 509 βουλὴν (sic) || 510 τῷ γὰρ λόγῳ ἅλατι ἠρτυσμένος τὸ || 512. 513 ἱππουκράτους καὶ γαλινοῦ || 520 μετὰ τέλους || 522 δοξάζοντας τε καὶ μεγαλύνοντας incompréhensible || 523 προσδιατρίψαι || 525 συγκαταλύσωμεν || 533 νίσων | ἐγκαλούς certainement corrompu || 536 συναγαγόντες || 539 ἐξανδραποδησάμενοι. προσείπερ

πολλῶν θρήνων καὶ ὀδυρμῶν παραίτιοι τοῖς ὑπολειφθεῖσιν ἐν τῇ Κύπρῳ
νήσῳ γενόμενοι. Πῶς γὰρ ἦν ἀδακρὺ τὴν τοιαύτην παρελθεῖν τραγῳ-
δίαν, ὁρῶντας ὑπὸ ἀνηλεῶν βαρβάρων ἄνδρας μὲν ὡς ἐν μακέλλῳ τοῖς
ξίφεσι κατατμηθέντας, γυναῖκας ἁρπαγείσας, νήπια φειδοῦς μὴ τυχόντα,
παρθένων αἰδῶ καθυβρισθεῖσαν, νεανίσκους δοριαλώτους γεγενημένους,
πάντων τῶν ὑπαρχόντων ἅπαντας γυμνωθέντας, καὶ μηδὲν τῶν αἰχ-
μαλωτισθέντων φιλανθρωπότερον ἔχοντας. Γενομένης δὲ ταύτης τῆς
ἐλεεινῆς τραγῳδίας, πάντες μὲν τοῖς ἑαυτῶν πλησίον κακὰ διετίθεσαν·
ὁ δὲ μέγας Δημητριανὸς τοῦ ἰδίου ἀπορφανισθεὶς ποιμνίου, ἑποτνιᾶτο f. 207ᵛ
καὶ ἔστενε καὶ δάκρυσι πολλοῖς τὸν τοῦ Θεοῦ ἐπεκαλεῖτο ἔλεον, εἰς
ἀνάρρυσιν τῆς ὑπὸ λύκων ἀγρίων διεσπαρμένης καὶ διεφθαρμένης,
⟨ποίμνης⟩· καὶ δὴ μὴ φέρων ἐπὶ πολὺ τὴν ἐξ ἀθυμίας αὐτῷ γινομένην
ἐγκάρδιον θλῖψιν, ὀπισθόπους καὶ αὐτὸς εἵπετο τῶν αἰχμαλώτων· δύο
τὰ μάλιστα συμβουλευσάμενος, ἢ συγκακουχεῖσθαι τούτοις καὶ τὸ πολὺ
ἐπικουφίζειν τῆς θλίψεως, ἢ πάντως τῶν κινδύνων τούτους λυτρώ-
σασθαι καὶ πρὸς τὴν θρεψαμένην ἐπαναγαγεῖν. Καὶ δὴ καταλαβὼν τὴν
Βαβυλῶνα, καὶ τῷ ταύτης ἐμφανισθεὶς πρωτεύοντι, τήν τε παράβασιν
τῶν συνθηκῶν εἶπεν, καὶ τὴν τῶν βαρβάρων ἀγριότητα ὅτι μάλιστα
τούτῳ ἐνεφάνισεν. Τοῦτο δὲ οὐ παρέργως ἀλλὰ μετὰ πολλῶν καὶ
πικροτάτων δακρύων ἀπήγγειλεν· ἦν γὰρ εἰς φύσιν λοιπὸν μετελθὸν τὸ
ἐκ πολλῶν πόνων προστεθὲν σωτήριον φάρμακον. Ὁ δὲ τῶν βαρβάρων
ἔξαρχος τοῖς δάκρυσι τούτου καταπλαγεὶς καὶ μεταβαλὼν τὴν φυσικὴν
ἀγριότητα· „Παῦσαι ἄνθρωπε, ἔφη, καὶ τὸ πολὺ τοῦ πένθους περίκοψον·
ἀπολήψει γὰρ πάντως τῆς ἐπιθυμουμένης σου | δεήσεως τὴν περαίωσιν". f. 208ʳ
Τὴν αἰτίαν οὖν μαθὼν ὁ εἰρημένος βάρβαρος καὶ τὴν τῶν διωκτῶν
ἀπάνθρωπον ὠμότητα, μετὰ τρίτην ἡμέραν προσκαλεσάμενος τὸν μακα-
ριώτατον Δημητριανὸν παραδίδωσιν αὐτῷ τά τε σκῦλα καὶ τοὺς αἰχ-
μαλωτισθέντας ἅπαντας, καὶ οὕτως μετ' εὐφροσύνης πολλῆς πρὸς τὴν
ἰδίαν γῆν ἐξαπέστειλεν. Ὁ δὲ μακαρίτης σὺν παντὶ τῷ αἰχμαλώτῳ
λαῷ τὴν οἰκείαν καταλαβὼν πατρίδα καὶ δόξαν ἀναπέμψας σὺν αὐτοῖς
τῷ σεσωκότι Θεῷ, χαίροντες καὶ ἀγαλλιώμενοι εἰς τὰ ἴδια ὑπέστρεψαν.

Τούτων τῶν μακρῶν αὐτοῦ νηστειῶν καὶ κακοπαθειῶν πολὺ
τιμιώτερον τοῦτο τῶν ἄλλων ἁπάντων κατορθωμάτων ἐξαίρετον· ἕτερον
δὲ τῶν αὐτοῦ διηγήσομαι θαυμάτων. Σπόρου ποτὲ καταλαβόντος

540 ὑπολειφθήσιν ‖ 541 νήσσω ‖ 543 φήδους ‖ 544 ἐδῶ ‖ 547 τῆς ἑαυτῶν πλησίων ‖ 548. 549 ἑποτνίατω καὶ ἔστεναι | ἔλαιον ‖ 551 γινομένης ‖ 554 θλήψεως ‖ 555 ἐπαναγάγει ‖ 559. 560 μετελθόντων ἐκ | προστιθέν ‖ 561 μεταλαβών ‖ 565 ἀπανθρώπων ‖ 566 σκύλα ‖ 570 ὑπέστρεψαν, conjecture pour ἐξαπέστειλε, répété de 568

547 L'auteur de la vie (inédite) de S. Grégentius, parlant d'un massacre semblable: ταῦτα τὰ μέγιστα καὶ τραγῳδίας ἀνάπλεα | κακὰ διετίθεσαν. Cf. Theodoret 2, 888 ed. Bonn ἐπαναστάντες μυρία διέθεσαν αὐτοῖς κακά.

ἦλθέν τις τῶν τοῦ ἐπισκοπείου γεωργῶν αἰτῶν παρὰ τοῦ ἁγίου βοῦν
575 εἰς ἐργασίαν. Ὁ δὲ ἀπέστειλε Μακεδόνιον τὸν αὐτοῦ νομέα ὀνήσασθαι
τὸν ἐπιτηδειότατον βοῦν. Παραγενόμενος οὖν ὁ ἐπὶ τούτῳ ἀποσταλεὶς
καὶ πολλὰ ἐρευνήσας, οὐκ ἠδυνήθη εὑρεῖν εἰ μὴ ἕνα βοῦν ἀκαμβῆ καὶ
f. 208[v] ἀγέρωχον, πολλὴν ὅμως ἐπιτηδειότητα ⟨ἐπιδεικνύμενον⟩ | πρὸς τὴν
ζητουμένην ἐργασίαν. Δοὺς δὲ τὸ τίμημα τῷ κυρίῳ τοῦ βοὸς ἦλθεν
580 μετ' αὐτοῦ συλλαβέσθαι τοῦτον. Καὶ μὴ δυνηθέντες μόνοι διὰ τὸ
φύσει αὐτοῦ ἄγριον, προσέλαβον μεθ' ἑαυτῶν καὶ ἑτέρους πλείονας,
οὓς μὲν πεζοὺς οὓς δὲ μεθ' ἵππων καὶ ἡμιόνων. Πολλὰ οὖν καμόντες
καὶ μὴ δυνηθέντες τοῦτον κατασχεῖν, διὰ τὸ ἀπεχθέσθαι πᾶσιν καὶ
τοῖς τῶν κεράτων ὅπλοις ἀμύνεσθαι, ἔασαν τοῦτον ἅπαντες. Ὁ δὲ
585 Μακεδόνιος παραγενόμενος πρὸς τὸν ἅγιον ἀπήγγειλεν αὐτῷ τὴν τοῦ
βοὸς ἐπιτηδειότητά τε καὶ ἀγριότητα. Καὶ δὴ σὺν τῷ Μακεδονίῳ
μόνος παραγενόμενος, τὸν βοῦν μακρόθεν παρεκελεύσατο τοῦτον καθυπο-
δεῖξαι. Ὁ δὲ ὑπέδειξέν τε καὶ τοῦ μὴ γενέσθαι πλησίον παρεγγυήσατο.
Ὁ δὲ ἅγιος — ἀτάραχος οὕτως ἦν καὶ πρᾷος — προσῆλθεν τῷ βοΐ,
590 καὶ τῶν αὐτοῦ κεράτων δραξάμενος, ὡς πρόβατον εἵλκε, μηδὲν ἐπι-
δεικνύμενον λείψανον τῆς πρώτης αὐτοῦ ἀγριότητος. Εἶπεν δὲ πρὸς
τὸν Μακεδόνιον· ὄντως, οὐδέποτε τοιοῦτον βοῦν ἐθεασάμην πρᾴτερον.
Ἔκστασις δὲ μεγάλη συνέσχεν τὸν Μακεδόνιον ἐπὶ τῷ παραδόξῳ τοῦ
f. 209[r] θαύματος. | Ὁ δὲ ἅγιος, τὸν κάλων περιθεὶς τοῖς τοῦ βοὸς κέρασι,
595 δέδωκεν τῷ Μακεδονίῳ ἔμπροσθεν τούτου ἕλκειν. Ὡς δὲ τὴν ὁδοιπορίαν
ὁμοῦ διήνυον, ἔρχονται κατά τινα τόπον τοῦ ἀναπαύσασθαι. Καὶ ἰδοὺ

---

574 *ἐπισκοπίου* || 575 *Μακεδώνιον τὸν αὐτοῦς ὀνομαίας* (sic.) || 576 *ἐπιτιδιώτατον* | *τούτου* || 578 *ἀγέροχον* | *ἐπιτηδιότητα*. L'addition *ἐπιδεικνύμενον* s'impose || 583 *ἀπέρχεσθαι* || 584 *τοὺς ἔασαν* || 586 *ἐπιτηδιώτητά τε καὶ ἀγριώτητα* | *Μακεδωνίω* || 590. 591 *ἐπιδεικνύμενος* || 592 *Μακεδώνιον* || 593 *ἔκστασεις* | *Μακεδώνιον* || 594 *κάλον* || 595 *ὀδυπωρίαν*

---

576 suiv. Voyez une histoire miraculeuse de *ὑποζύγιον ἄτακτον*, *Vita Epiphanii* (Migne PG 41 25—28). *Ἀκαμβής*. Pour *ἀκαμπής*. Ce mot ne se trouve qu'ici. La sourde du radical est remplacé par la sonore correspondante selon une tendance générale dans le grec postérieur, et qui est due à l'analogie. La langue ancienne présente des phénomènes semblables, qu'on explique de même par l'analogie (cf. G. Meyer *Gr. Gr.* 271—272). L'inscription d'Andanie (Cauer[2] 47. 77) a *κεκλεβώς* de *κλέπτω*. Cf. *κρύβη* (Diodore, N. T.) *ἐκρύβην*, *καλύβη*; *βλάβη*. Ces formes ont été refaites sur les aoristes d'après l'analogie de *τρίβω*: *ἔτριψα*: *τρίβω* = *ἔβλαψα*: *βλάβω*. Le radical analogique se rencontre d'abord que dans les aoristes seconds passifs, les parfaits et les noms dérivés (*ἐκρύβην*, *κρύβη*, *καλύβη* sont antérieurs à *κρύβω καλύβω*). Ce n'est guère qu'à l'époque moderne que le procédé règne en maître dans la formation du présent (Hatzidakis, *Einleitung* 403—404). *Ἀκαμπής* au sens précis d'indocile (*ἄτακτος* dans l'histoire citée de la *Vita Epiphanii*) ne se rencontre pas ailleurs (cf. *Thesaurus* s. v.).

μία γραῦς προσελθοῦσα τῷ ἁγίῳ ᾔτει παρ' αὐτοῦ ἐλεημοσύνην. Ὁ δὲ ἅγιός φησι πρὸς αὐτὴν· „Πίστευσόν μοι γύναι· οὔτε ἄργυρον οὔτε χρυσίον ὑπάρχει μοι· ἀλλ' εἰ βούλει, μίσθωσαι σεαυτῇ ζῷον, καὶ ἐλθὲ ἐν τῷ ἐπισκοπείῳ, καὶ παρέχω σοι χρείαν πᾶσαν τὴν ἐπιζητουμένην παρὰ σοῦ, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλ' ὁσάκις βούλει, καὶ ὑπὸ τῆς πενίας καταναγκάζει". Ἡ δὲ ἔφη· „οὐκ ἐστίν μοι εὐπορία, φιλανθρωπότατε δέσποτα, πρὸς ἐφεύρεσιν ζῴου, ἀλλὰ ὡς ἂν βούλῃ, τὴν ἐμὴν μὴ ἀπαξιώσῃς πτωχίαν παραμυθήσασθαι" Ὁ δὲ πάσης συμπαθείας ἀνάπλεος τοῦ Θεοῦ ἄνθρωπος Δημητριανὸς, ἀναστὰς καὶ ἰδίαις χερσὶ λύσας τὸν βοῦν, δέδωκεν τῇ ἀπόρῳ εἰπών· „Δέξαι τοῦτον, καὶ δὸς ἀροτριᾶν, καὶ τὸν ἐκ τούτου κάματον ἕξεις ἐπαρκοῦν εἰς διατροφήν σου καὶ τοῖς τέκνοις σου". Οὕτως οὖν μετὰ πάσης εὐφροσύνης ἡ γραῦς δεξαμένη παρὰ τοῦ ἁγίου τὸν βοῦν, ἀπῆλθεν εἰς τὰ ἴδια εὐχαριστοῦσα τῷ Θεῷ καὶ τῷ | ἁγίῳ αὐτοῦ θεράποντι. Πολλὰ μὲν οὖν καὶ ἕτερα τοῦ f. 209ᵛ ἁγίου τούτου γεγόνασιν θαύματα, καὶ ἀξιομνημόνευτα πράγματα, ἅτινα διὰ τὸ πλῆθος παριδεῖν ἐγνώκαμεν. Ἀρκεῖ γὰρ τοῖς πιστεύσασιν καὶ θαυμάτων χωρίς, ἐκ τοῦ πρακτικοῦ αὐτοῦ βίου τὴν ὠφέλειαν δρέπεσθαι. Εἰ δὲ καὶ ταῦτα εἰς προσθήκην μείζονα ὁ μεγαλόδωρος Κύριος τούτῳ παρέσχεν τῷ ἁγίῳ καὶ ζῶντι καὶ μετὰ θάνατον, τίς ἔτι ἀμφιβολίας ἀφορμὴ λείπεται τοῖς φιλοσκώπταις εἰς τὸ μὴ ἀνυπερθέτως ἐπιγράφειν τούτων τὴν ἁγιότητα; Τοῖς γὰρ πάντα ῥᾳδίως διαβάλλειν θέλουσιν, οὔτε ὁ τοῦ ἁγίου Ἰωάννου βίος ἀρέσει, οὔτε ὁ τοῦ τῶν ὅλων δεσπότου, ὅτι ὁ μὲν δαιμονῶν ἤκουσεν διὰ τὸ ἄγαν ἀτρύφητον, ὁ δὲ φάγος καὶ οἰνοπότης διὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐπιμικτὸν καὶ συνέστιον. Ἀλλ' ἡμεῖς δεξάμενοι καὶ θαυμάσαντες τὴν τοῦ ἁγίου τούτου μεγάλην βίου ἀκρίβειαν, κατὰ δύναμιν ⟨ταύ⟩την εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων γραφῇ παρεδώκαμεν, ἡμᾶς γε αὐτοὺς τῇ μνήμῃ ταύτῃ καθαγιάζοντες καὶ τῶν ἡμᾶς προτρεψαμένων εἰς τοῦτο τὸν πόθον ἀφοσιούμενοι. Ζήσας δὲ σχεδὸν περὶ τὰ ὀγδοήκοντα ἔτη ὁ μακάριος Δημητριανὸς καὶ τὸν δανιτικὸν ὅρον πληρώσας ἐν γήρει καλῷ καταλύει τὸν βίον πρεσβύτης ⟨καὶ⟩ | πλήρης ἡμερῶν. Τὸ δὲ τέλος αὐτοῦ γέγονεν κατὰ τὴν ἕκτην f. 210ʳ τοῦ νοεμβρίου μηνός, ἑκκαίδεκα μὲν χρόνων ἀποταξάμενος, τεσσαράκοντα δὲ χρόνους ἐν τῇ ἀσκητικῇ τελέσας παλαίστρᾳ, εἴκοσι δὲ καὶ πέντε τὸν τῆς ἐπισκοπῆς Χυτρίδων ἰθύνας θρόνον· τὸ δὲ τίμιον αὐτοῦ

---

597 ᾔτει ‖ 599 ἡ βούλη | μίσθωσε | σεαυτήν ‖ 600 ἐπισκοπίω ‖ 603 ὡς ἂν βούλει ‖ 604 παραμυθίσασθαι ‖ 607 καμάτων ‖ 614 μείζονα | τοῦτο ‖ 615 ζώντι ‖ 620 συνεσθίον ‖ 622 ἀκρίβιαν ‖ 628 ἑκκέδεκα ‖ 629 ἤκοσι

618—620: Matth. 11, 18. 19 ἦλθεν γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων καὶ λέγουσιν· Δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγουσιν ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης τελωνῶν φίλος καὶ ἁμαρτωλῶν cf. Luc. 7, 33—34.

λείψανον κατετέθη ἐν τῇ ἐμπιστευθείσῃ αὐτῷ ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκκλησίᾳ. Καὶ νῦν ὁρᾶται καθ' ἑκάστην μύρων ἀναβλύζων πηγάς, ἐξ ὧν ἅπας (sic) νόσος τοῖς πίστει τούτων μετέχουσιν ἀπελαύνεται, δαίμονες δραπετεύουσιν καὶ πάντων τῶν παθῶν ἀλεξητήριον φάρμακον πίνονται. Ἡ δὲ ἁγία αὐτοῦ ψυχὴ ἐν ἀγαλλιάσει τοῦ σκήνους ὑποχωρήσασα ταῖς οὐρανίαις δυνάμεσιν ἐμφιλοχωρεῖ τῷ προσώπῳ Κυρίου ἐμφανιζομένη καὶ τῶν αἰτουμένων τὰς δωρεὰς ἀκωλύτως λαμβάνουσα. Ἔνθεν παρρησίαν ἔχων πρὸς ὃν ἐκ ψυχῆς ἐπεπόθησας, ὦ ἱερώτατε πάτερ, μέμνησο ἡμῶν τῶν ἀναξίων ὑμνῳδῶν σου, καὶ τὰς καθ' ἡμῶν ἐπαν[ασ]τάσεις τῶν ὁρατῶς [καὶ] ἀοράτως ἡμᾶς πολεμούντων κατ[άλυσον], καὶ τὸν κόσμον [μὲν ὅλον?] αἰωνίως ταῖς σαῖς [πρεσ]βείαις πρυτάνευσον [πάτερ], ἐξαιρέτως δὲ, τὴν σοὶ ἀνατεθεῖσαν ποίμνην φυλάττων μὴ διαλείποις ἐκ παντοίας βλάβης τῶν συνεπιτιθεμένων κακῶν.

f. 210v Ὁρᾷς γὰρ | τὴν ἀγριότητα τῶν ἐπανισταμένων αὐτῇ πολεμίων, καὶ τὴν ἐπικειμένην ἐκ πάντων συντριβὴν τῆς καθ' ἡμέραν ταλαιπωρίας. Στῆσον τὰ νέφη καὶ τὴν καταιγίδα τῶν πειρασμῶν καὶ παράσχου εἰρήνην, εἰρηνοβράβευ[τε]

. . . . π ν τε ταῖς ὑ
. . . . . νε μέ
. . . . . αις ὑπὸ
. . . . . ριωναιχ
. . . . . νο
. . . . . ἐπαινου
. . . . . ε παρα
. . . . φόρους ἀέ
.
. . . . . σίαν καρ
. . . . τῆς γῆς ευ
η νίαν απαντωνα
ων θυμιαν τον
μετὰ σὲ καὶ τοῦ
θρόνου διάδοχον τον . . οσ
τον ἱερώτατον πιτρου
πω ἀνάδειξον . . μιμη-
τὴν πίστεως ὀφθαλμ [ὲ] .
τῶν σῶν κατορθωμάτων
κατανοήσας τὸ μέγεθος
τοῦτον σου τὸν βίον εἰς ὠ

---

632 ὁρᾶτε ‖ 635 Lire πίνεται? ‖ 635. 636 ὑποχωρήσας ‖ 637 ἀκολύτως · ‖ 641 Ma copie porte καὶ τὸν κόσμον τηὴ . . . | αἰωνίος ‖ 643 συνεπιτιθειμένον

φέλειαν τῶν ἐντυγχανόν
των, εἰς προτροπὴν δ
ἐγραψ . . . . . .
τὰς . γλ . . . . αὐτὸν
καὶ διδάσκαλον καὶ κυ
βερνήτην τησ . . .
παντὶ τῷ λαῷ . . . .
. . . . . .
ἁγία σου ποίμνη. . .
. . δεομένων ἀντιλή-
ψεως καὶ βοηθείας σου
πρὸς σωτηρίαν. . . .
ὡς ἂν ἄλλο . . . . .

Index verborum.

A.

Ἀαρών 78
ἀγαθότης 22
ἀγέρωχος (βοῦς) 578
ἀγωνιστικός (ἀγωνιστικῶν παλαισμάτων) 521
ἀδακρύ 541
ἀείζωος 321
ἀειθαλής 320
Ἀθανάσιος (évêque de Chytri) 472
αἰκίζομαι (πληγαῖς αἰκισάμενοι) 442
ἄκακος 75
ἀκαμβής (= ἀκαμπής, „indocile“) 577
ἄκαμπτος 440
ἀκούω (δαιμονῶν ἤκουσε) 619
ἀκρίβεια (βίου ἀκρίβεια) 324, 622
ἀκωλύτως 637
ἀλάθητος 456
ἀλεξητήριος 634
ἀλεξίκακος 348
ἀλόγως 15
ἀλύπως 310
ἄμισθος 330
ἀμφίασις (τῶν τοῦ μονήρους βίου ἀμφίασιν) 213. (τῶν γυμνῶν ἀμφίασις) 492
ἀμφίλεκτος 461
ἀναβλύζω (acc.) 632
ἀνάγραπτος 61
ἀνάδοσις 45
ἀνακάμπτω 428
ἀνάληψις 341
ἀναλλοίωτος 520
ἄναλος 510
ἀνάλυσις 531
ἀνανεύειν 449
ἀναντίλογος 167
ἀναπετάννυμι (τὸ τοῦ φίλτρου ἱστίον) 32
ἀνάπηρος 500
ἀνάπλεος 66. 604
ἀνάψυξις 493
ἀνελευθέρως 36—37
ἀνεμπόδιστος 337
ἀνεπιστήρικτος 286
ἀνεπιφθόνως 37
ἀνηλεής 542
Ἀντώνιος (S. Antoine)
ἀνυπέρβλητος 22
ἀνυπερθέτως 616
ἀπαιωροῦμαι (ἀπηωρημένον σπήλαιον) 425
ἀπαλλαγή (παθῶν ἀπαλλαγή) 425
ἀπάνθρωπος (ὠμότης) 565
ἀπαξιῶ 603—604
ἀπαράτρωτος 332
ἀπάρχομαι (διηγήσεως) 141; ἀπάρχομαι (ποιεῖν) 26; ἀπάρχεται (στέφανος) 531—532
ἀπελαύνω 511
ἀποβουκολοῦμαι (ταῖς καλαῖς ἐλπίσιν τῆς πρὶν ἀποβουκολούμενος ἡσυχίας) 360
ἀποδύρομαι 364—365
ἀποκρυβή 437. 450
ἀπολαμβάνω 563
ἀπορφανίζομαι 548
ἀποστρέφω 539
ἀποτάσσομαι 628
ἀπρόσκοπος 282
ἀρίστευμα 487
ἀρτύω 510
αὐξάνω (εἰς μέγεθος καὶ κάλλος) 482
αὐτοκράτωρ (τῶν παθῶν) 233
αὐτούργημα 23
αὐτουργοὶ (θαυμάτων) 474
ἀφεγγής 433

ἀφοσιοῦμαι (τὸν πόθον ἀφοσιοῦμαι) 624

B.

Βαβυλών (Bagdad) 556
Βαβυλώνιος (Arabe) 532
Βαρνάβας 394
βάσκανος 282
βασκάνως 36
βιοτή 523
βοηθός 188
βόρειος (τὰ βορειότερα μέρη) 414
βραβεύω (τὴν χάριν τῶν θαυμάτων) 349

Γ.

Γαληνός 513
γαμήλιος (γαμήλιος ἑορτή) 171
γεωργῶ 316
γῆρας (τῷ γήρᾳ) 530 (ἐν γήρει) 626
γίγνομαι (παραίτιος) 540—541
γιγνώσκω (ἐγνώκαμεν, „nous avons résolu“) 612
γονυπετῶ 220

Δ.

δαιμονῶ (δαιμονῶν ἤκουσε) 619
Δανιήλ 407
Δαυΐδ 82
δαψιλῶς 488
δεξιόομαι -οῦμαι 502
δεξίωσις 490
Δημητριανός passim
διαιτητής 380
διάζευξις 180
διαλλάττω (καιροὺς τῇ τῶν ἄστρων φορᾷ διαλλ.) 14
διαρρήδην 49
διάστημα (ἐκ μακρῶν διαστημάτων) 516
διατίθημι (κακά) 547
διαφερόντως 92
δοξάριον 427
δρᾶμα („malheur“, „perte“) 183. 365
δραπετεύομαι 292—3
δραπετεύω 350. 529
δύσβατος 425
δυσεπιχείρητος 335

E.

ἐάω (ἔασαν) 584
ἐγχείρημα (charge) 356. 415
εἰλιχόων 8
εἰρηνοβράβευτος (?) 647
ἐκβλύζω (acc.) 529
ἑκκαίδεκα 628
ἐκκοπή 338
ἔκλυτος (ἡ προθυμία) 106—107
ἐκτινάσσω (ἐκτιναγὲν βέλος) 69
ἐκφύω 340
Ἐλισσαῖος 408
ἑλληνικός (ἑλληνικῆς σκαιομυθίας) 25
ἔμπρακτος (ἔμπρακτα αὐτουργήματα) 23
ἐμφανεία (θείας ἐμφανείας) 451
ἐμφανίζομαι 556
ἐμφιλοχωρέω -ῶ 636
ἔμφυτος 22
ἐναργής 28
ἐνδυναμόω- ῶ 482
ἐντυγχάνω (lire) 622
ἐννυπόστατος 57
ἐξανδραποδίζομαι 539
ἐξαρκῶ 256
ἔπαθλον 118
ἐπακολουθῶ 293—4. 304—5
ἐπανάληψις 332
ἐπανάστασις 640
ἐπανίσταμαι 644
ἐπαρκῶ 249. 498
ἐπερείδομαι 107
ἐπιγράφειν 616
ἐπιδείκνυμαι 590—591
ἐπίκειμαι (ἐπικειμένη συντριβή) 645
ἐπικίνδυνος 464
ἐπικουφίζω 554
ἐπίμικτος (ἐπίμικτον καὶ συνέστιον) 620
ἐπιποθῶ 638
ἐπισκοπεῖον 469
Ἐπιφάνιος (Saint Epiphane) 395
ἐπιχείρημα 341
εὐπρόσιτος 508
Εὐστάθιος (évêque de Chytri, archévêque de Salamine) 314. 392 etc.
εὐφημῶ 141
εὐφροσύνη 313

Z.

ζωτικός 12

H.

ἡμελημένως 339

Θ.

Θεόφιλος (Θεοφίλου τοῦ μισοχρίστου βασιλέως) 153

I.

Ἰάκωβος 50
ἴαμα (χάρις τῶν ἰαμάτων) 514
ἰαματικός (ἰαματικῆς χάριτος) 385
ἱερός (ἱερὰ νόσος) 500
ἱερολογία 224
Ἰησοῦς (Josué) 80
ἰθύνω (θρόνον) 630
ἱκεσία 367
ἱλιγγιάω (λίαν ἐπὶ τούτῳ ἱλιγγίασα) 140
Ἱπποκράτης 512
Ἰσαάκ 64
ἴσος (ἐπ' ἴσης) 44. 118
ἰσοταχῶς 77
ἱστίον (τὸ τοῦ φίλτρου ἱστίον) 32
ἵστημι (στῆσον τὰ νέφη) 646
Ἰωάννης 618
Ἰώβ 73
Ἰωσήφ 68

K.

καθαγιάζω 623
καθέδρα (τὴν τοῦ μεγάλου ἀποστόλου Βαρνάβα καθέδραν) 394
καθυβρίζω 544
κάλαμος (ἐπὶ τὸ τῶν ἄλλων

αὐτοῦ ἀρετῶν . . τρέψω τὸν κάλαμον) 264
καλοκἀγαθία 483
κάλως (τῷ τῆς ταπεινοφροσύνης κάλῳ ταινιούμενος) 284—285
κανών 332
καρποφορία 98
καρυκεία 209—210
καταθύμιον 441
καταιγίς 646
καταλαμβάνω (se rendre) 424 passim
καταλιμπάνω 134
καταλύω 626. 641
καταντῶ (πρὸς τὸ τέλος . . . καταντήσαντες) 132
κατατρυφάω ῶ- (τῆς τῶν θείων μυστηρίων κατατρυφᾶν ἀξιοῦται μυήσεως) 272—273
καταφυτεύω 483
κατεπείγω 300
κατοκνῶ 38
κέρας (τὸ τοῦ τύφου κέρας κλῶν) 281
κλῆσις 516
κότινος 117
κύλινδρον 286
Κύπριος 144 passim

Λ.

λάρναξ 527
λαφυραγωγέω -ῶ 538
λείψανον (τὸ δὲ τίμιον αὐτοῦ λείψανον) 630—631
λεῖος (τὸ τῆς ἡδονῆς λεῖον) 208
λεληθότως 429
λιπαρέω -ῶ 439
λυτρόομαι -οῦμαι 502. 554—555
λώβη 501

Μ.

μαγνήτης 298
Μακεδόνιος (bouvier) 575. 585. 592. 593
μάκελλον (ὡς ἐν μακέλλῳ) 542
μαρτυρέω -ῶ 77
μερίζομαι 484
μερικος (ἐκ τῶν μερικῶν ἀρετῆς πλεονεκτημάτων) 84
μετακλίνω 319
μετανάστης 200
μεταστέλλομαι 403
μετοχέτευσις 322
μετοχετεύω 258
μῆλον (μῆλα δελφικά) 117
μόδιον 433
μονία (ἀθλητικὴ μονία) 127
μυσταγωγία 469
Μωυσῆς 76

Ν.

νεανίσκος 544
νευρόω -ῶ (τὰς ψυχικὰς δυνάμεις) 236
νήπιον 543
νομεύς 575
νομοθεσία (ἡ τῆς νομοθεσίας στήλη) 27

Ο.

οἴαξ 481
οἰκονόμος 355
ὁλόψυχος 194
ὁμοσθενῶς 5
ὀπισθόπους (ὀπισθόπους εἶπετο τῶν αἰχμαλώτων) 552
ὁρκόω -ῶ (ὁρκώσας) 427
ὁρμάομαι -ῶμαι 539
οὐρανοδρομέω -ῶ 388
οὐρανομήκης 228
οὐρανοπολῖτις 288—289
ὄχθη 424

Π.

παγίς (τὴν παγίδα συνθλάσας) 191
παλάμη 348
παμφαής 295
πανδαμάτωρ 289
πάνδημος 470
πανσόφως 190. 282
παντεπίσκοπος 4
πάντη 126
παντουργός 4
Πάππος 472
παραίτιος (γίγνομαι, gen.) 540—541
παράκλησις 325
παραμυθέομαι 604
παρεγγυάομαι (τοῦ μὴ γενέσθαι πλησίον παρεγγυήσατο) 588
παρέπομαι 48
παρίστημι (παριστῶσα) 31
παρρησία (ἔχειν παρρησίαν) 638
Παῦλος (apôtre) 31
Παῦλος 417 suiv.
περαίωσις 563
περικόπτω (τὸ πολὺ τοῦ πένθους περίκοψον) 562
περισκοπέω -ῶ (ἑαυτῷ περιεσκόπει 414
πήγνυμαι 228
ποιμαντικός (ποιμαντικὴ ἐπιστήμη) 481
πολεμέω -ῶ (acc.) 640
πολιά (ἡ) 196
πολιός 196
ποτνιάομαι 548
προεδρία 328
προηγουμένως 303
προῖκα 346
προνομή 537
προπεπρωμένος (corrompu en προπεποιωμένος) 351
προπεπυσμένος (corrompu en προπεποιωμένος) 476
προσθήκη (εἰ δὲ καὶ ταῦτα εἰς προσθήκην μείζονα) 614
προσδιατρίβω (μικρὸν δὲ ἔτι τῇ ἐν σαρκὶ αὐτοῦ βιοτῇ προσδιατρίψαντες) 523
προστίθεμαι 166—167
πρόφημι 31
πρώτως 94
πωλικός 158

Ρ.

ῥεῖθρα 261

Σ.

Σαλαμίνιοι 388
Σαμουήλ 81. 155
σκαιομυθία 25
σκάμμα (ἐν τῷ τοῦ βίου σκάμματι) 46

σκῆνος (ἐν ἀγαλλιάσει τοῦ σκήνους) 635
σκῦλον 537
σπάνις (διὰ τὴν σπάνιν) 134. 486—487
στένω 864
στρεβλόομαι -οῦμαι (ταῖς ἐκ τῶν μαστίγων ἀνάγκαις) 443—444
ξίφη θήσουσι κατ' ἐμοῦ οἱ τοῦ σκότους προστάται·
τάχυνον, οἰκτειρον, Χριστέ, ῥῦσαί με τῶν μωλώπων.
Φεῖσαί μου τότε, κύριε, φεῖσαι τοῦ πλάσματός σου,
ὅλον ἐν σκότει κείμενον φώτισον, λάμπρυνόν με ‖
fol. 66[b] καὶ τῶν τραυμάτων ἄμοιρον δεῖξόν με τῶν δαιμόνων.
Χρηστότητος τὴν ἄβυσσον ὡς κεκτημένος, Λόγε,
Mat. 15, 22 sqq. μὴ παρίδῃς δεόμενον, ἀλλ' ὡς τὴν Χαναναίαν
οἰκτείρησον προσπίπτοντα εὐμενῶς ἐπιβλέψας.
Ψυχή μου, στέναξον λοιπὸν καὶ δάκρυσον συντόμως
τῶν πεπραγμένων τὴν πληθὺν πλύνουσα καθ' ἡμέραν,
εὔθετον ἔχουσα καιρὸν νῦν τὸν τοῦ μεταγνῶναι.
Ὦ βάθος ἀκατάληπτον τοῦ ἐλέους, Χριστέ μου,
ὦ πέλαγος ἀμέτρητον, ὄμβρισόν μοι σταγόνα
ἐλέους σοι προσάγοντι πρέσβιν τὴν σὴν μητέρα.

---

41 ἥσπερ ‖ 58 τάλ.

Vatic. Palat. gr. 367

I 2.

fol. 135[b] *Ἕτεροι στίχοι κατ' ἀλφάβητον περὶ τοῦ ματαίου βίου τούτου· ποίημα τοῦ μοναχοῦ Μακαρίου τοῦ Καλορείτου.*

Ἀπὸ ψυχῆς στενάξωμεν, κλαύσωμεν ἐκ καρδίας
τὸ τέλος ἐνθυμούμενοι, τὰς πράξεις μεμνημένοι.
Βίον γὰρ ὅλον τὸν ἐμὸν ἠχρείωσα ὁ τάλας
πράξει καὶ λόγῳ καὶ αἰσχραῖς ἐνθυμίαις καθ' ὥραν.
Γυμνὸς ἐκ πάντων ἀγαθῶν διάγω ῥαθυμίᾳ
καὶ πᾶσαν πρᾶξιν ἀγαθὴν ἀπ' ἐμαυτοῦ ἀπείργω.
Διὸ καὶ πάντοτε θρηνῶ, τὸ τέλος μεμνημένος·
οἴμοι, τίς γένωμαι λοιπόν, πῶς ὑποίσω, πῶς φέρω
Ἐκείνας δὴ τὰς σκοτεινάς, ζεζοφωμένας ὄψεις,
αἷς καὶ μέλλω παραδοθεῖν ὁ ἄθλιος δικαίως;
Ζωὴν γὰρ πᾶσαν ἀμελῶς ἐν ματαίοις ἀνύσας
ζωὴν τὴν ἄνω καὶ τὸ φῶς ἐστερήθην ἀθλίως,
Ἣν ἑκὼν ὁ παμβέβηλος ἀφρόνως ὑστερήθην,
ἣν δὴ καὶ προσαπώλεσα δι' ἡδονῶν τοῦ βίου.
Θεοῦ ἀφρόνως μακρυνθεὶς ἐξ ἔργων τῶν κακῶν μου
αὐτοῦ λοιπὸν τὴν ἀπειλὴν φρίττω καὶ τὰς κολάσεις.
Ἰδοὺ γὰρ πᾶσά μου ζωὴ ὡς χόρτος ἐμαράνθη
καὶ ὡς ἄνθος ἐξέπεσε, φεῦ μοι τῷ παναθλίῳ.
Κριτὴν καὶ γὰρ τὸν φοβερὸν πῶς ἀτενίσαι μέλλω,
πῶς δὲ καὶ γλώσσῃ ῥυπαρᾷ ἀπολογίας τίσω;
Λόγος οὐδείς μοι πάρεστιν, οὐκ ἔστι παρρησία,
ἀλλ' αἰσχύνη καὶ ὄνειδος ἀγγέλων καὶ ἀνθρώπων. ‖
fol. 136[a] *Μηδείς σε οὖν ἐξαπατᾷ, ἐλεεινὴ ψυχή μου,*
ἐκεῖ οὐκ ἔστιν ἔλεος, οὐκ ἔστι σοι συγγνώμη.
Νῦν ὧδε ἀγωνίσθητι, νῦν σπούδασον ἐμπόνως,
ὅτι ἐνταῦθα ὁ ἀγών, ἐκεῖ ἡ ἀντιμισθία.
Ξηραίνονται καὶ τήκονται πάντες ἐκεῖ, ὡς ἔφυν,
οἱ μήπω εἰς μετάνοιαν ἐλθόντες ἀπ' ἐντεῦθεν.
Οἱ γὰρ τὸν βίον ἀμελῶς ζήσαντες σὺ καθώσπερ
ἀπότομον καὶ τὸν κριτὴν εὑρίσκουσιν ἐκεῖσε,
Πυρὶ καταδικάζονται λοιπὸν τῷ αἰωνίῳ
καὶ σκότει βαθυτάτῳ τε ἐκδίδονται ἀθλίως.
Ῥῦσαι οὖν, δέσποτα θεέ, ῥῦσαί με τὸν σὸν δοῦλον
τῶν τοιούτων κολάσεων κατὰ χάριν ὡς πλάστης·

---

4 *ἐνθυμήσεις* ‖ 9 *ὄψη* ‖ 10 *ἃς* | *παραδοθεῖν*] ich vermute *παραδοθῆν* (vgl. Chatzidakis, *Μεσ. καὶ Νέα Ἑλλ. α'* 585 *ἑπ.*) oder, wegen des gelehrten Sprachcharakters, geradezu *παραδοθῆν'*. Anm. d. Redaktion. ‖ 23 *σοι* (pro *σε*) ‖ 33 *τῷ σῷ δούλῳ*

Σὺ καὶ γάρ με διέπλασας, σύ με ὡς εὐεργέτης
ἐκ μὴ ὄντος παρήγαγες εἰς τὸ εἶναι, Χριστέ μου.
Τὸ σὸν οὖν πλάσμα, δέσποτα, μὴ παρεισίδῃς πάντῃ,
μήτε κολάσει ἔκδοτον γενέσθαι με προστάξῃς·
Ὕστατος καὶ γὰρ πέφυκα καὶ ἄγνωστος τῶν πάντων
καὶ πᾶσαν δὲ μοῦ τὴν ζωὴν ἀπώλεσα ἀλόγως.
Φόβῳ καὶ τρόμῳ, βασιλεῦ, προσέρχομαι σῷ κράτει,
σὲ ἐξαιτοῦμαι, ἀγαθὲ, τὴν λύσιν τῶν κακῶν μοῦ.
Χρηστὸς καὶ γὰρ ὡς πέφυκας, εὔσπλαγχνος συμπαθής τε,
μὴ τῷ θυμῷ σου, κύριε, ἐλέγξῃς με τὸν τάλαν.
Ψυχὴν γάρ μου εἰς χεῖρας σου ἀξίωσον ἐκθέσθαι,
καὶ ταύτην τῷ ἐλέει σου ἵλεον ὄμμα δεῖξον.
Ὡς ἀγαθὸς, πανάγαθε, ὡς πλάστης καὶ θεός μου
ἐλέησον, οἰκτείρησον, ἀντιλαβοῦ καὶ σῶσον.

35 μοι (pro με) || 36 τὸν (pro τὸ) || 37 πάντηξ || 40 ἀπέλησα || 44 τῷ τάλα || 48 ἀντίλᾶ

Athen. 1197 a.16 sub finem.

I 3.

Ἕτερον μέλος κατὰ στοιχεῖον τοῦ σοφωτάτου Κυριακοῦ τοῦ μαγίστρου.

Ἀπὸ χειλέων ῥήματα, ἀπὸ ψυχῆς μου θρήνους
ἐκπέμπω, ἀποδύρομαι ψυχῆς αἰχμαλωσίαν.
Βολὶς ὀμμάτων ἤγειρε βολίδας τοξευμάτων
τῶν ἐμπαθῶν, καὶ τέτρωμαι· δὸς χεῖρα, σῶτερ· θνήσκω.
Γῆν ἄψυχον εἰς ἔλεγχον ἔχω μοῦ τῆς κακίας·
ποσὶ γὰρ ταύτην ὦδευσα τρέχουσιν εἰς κακίαν.
Δολίοις δολεάσμασι χαυνωθεὶς μισθὸν βίου
τοῦ πλημμελοῦς ἐκέρδησα τὸ τρέμειν τομὴν βίου.
Ἔρις μοι φύσις γέγονε, τὸ ἔθος ὥσπερ χρέος
καταναγκάζει πράττειν με, ἃ τὸ μὴ πράττειν κέρδος.
Ζητῶ τίς ἡ χρηστότης σου, τίς ἡ μακροθυμία,
ὅτι καὶ παροργίζοντας θάλπεις ὡς κατορθοῦντας.
Ἡδὺ τὸ ζῆν τοῖς ἅπασιν, ἐμὲ τὸ συνειδὸς δὲ
καὶ τῶν μελλόντων ἔννοια πείθει μὴ ζῆν ἡδέως.
Θυμὸν ἀσπίδος ὥπλισα θρασέως τῷ πλησίον,
καὶ τίς ἐλπὶς μὴ γεύσασθαι πικρίαν τοῦ θυμοῦ σου; ||
pag. x+1 Ἰταμῶς ἁμαρτάνοντι πῶς ἀγενῶς προσβλέψει
ἄγγελος ὁ φυλάσσων σε, καὶ μὴ νυστάξῃς λύπῃ;
Κόρος ἐστὶ καὶ λέγεται χρηστῶν καὶ τῶν αἰσχίστων,
ἐμοὶ δὲ πρὸς τὰ χείρονα κόρος οὐδεὶς οὐχ ὅρος.
Λύσιν κακῶν ἀπήλπισα, πλὴν τρέφει με σὸς λόγος,
ὃς δικαοῖ τὸν φθάνοντα τὰς πράξεις ἐξαγγέλλων.

5 ἔλεχον ἔχων || 10 καταναγκάζειν || 12 παρωργίζοντι || 15 θρασίως τὸ

Μνήμη θανάτου τρύχει με, καὶ τοῦ θανάτου πλέον
λυπεῖ τὰ μετὰ θάνατον, βῆμα καὶ πῦρ καὶ ζόφος.
Νίκην ἐφιλονίκησα νικῆσαι τὴν κακίαν,
κατὰ ψυχῆς γὰρ ὥπλισα σαρκὸς ἡδυπαθείας.
Ξενίζει σοῦ τὰ πράγματα καὶ φύσιν ὑπερβαίνει·
ἐμὲ δ' εἰ σώσῃς, εὔσπλαγχνε, πᾶν ἔργον σου καλύψεις.
Οὐκ ἦλθες, ἔφης, δέσποτα, τοῦ κρίνειν, ἀλλὰ σώζειν·
ᾧ δὴ καὶ μόνῳ θάλπομαι τοῖς ἔργοις ἀπελπίσας.
Πλοῦτον κακῶν συνέλεξα πλοῦτον καλῶν σκορπίσας,
οὐκ οἴκους ἀπεκέρδησα χείρους τοῦ κεφαλαίου; ‖
pag. x + 2 *Ῥήμασι μεταβάλλομαι καὶ πράξεσι ῥυποῦμαι·*
τίς ὄνησις τὰ ῥήματα κρατεῖν τὰ τῶν πραγμάτων;
Στήλη κακῶν, ὑπόδειγμα κεῖμαι τῆς πονηρίας·
σκότος καὶ πῦρ ἐκδέχομαι μισθοὺς τῆς ἐργασίας.
Τί σοι προσοίσω ἄξιον ἀντὶ μελλόντων, Λόγε;
τί σοι δώσω ἀντάλλαγμα, ῥύπος ὑπάρχων ὅλος;
Ὑπέθαλπέ τις λογισμός, ὡς οὐκ ἐσφάλην μόνος·
ἀλλ' ἤλεγχε τὸ συνειδὸς, ὅτι τοσαῦτα μόνος.
Φλόγες φλόγας μοι τρέφουσιν, αἱ σαρκὸς τῆς γεέννης
. . . . . .
Χρονίσας γὰρ τοῖς πάθ⟨εσιν⟩ δυσαποσπάστως ἔχω·
Daniel 3, 19 sqq. *ἄμφω μοι, σῶτερ, κοίμισον, ὁ παισὶ πῦρ κοιμίσας.*
Ψ . . . . . .
. . . . . .
Ὡς ἔμπρακτον μετάνοιαν λόγους μου, Λόγε, δέχου
καὶ δίδου μοι τὰ σώζοντα πράττειν, ἀλλὰ μὴ λέγειν·
πλὴν καὶ δαψιλευθήτω μοι καιρὸς τῆς μετανοίας!

28 *δυσώδεις* ‖ 32 *οὐχ*

Athous 4837

I 4.

fol. 2[b] *Ἕτερος ἀλφάβητος τοῦ μεγάλου Ἀθανασίου ὠφέλιμος καὶ κατανυκτικὸς πάνυ.* ‖

fol. 3[a] *Ἀναλογίζου, ᾧ ψυχὴ, τὰ πρίν σοι πεπραγμένα*
καὶ τὸν θεὸν ἐκδυσωπῶν μὴ παύσῃ καθ' ἡμέραν,
ὅπως σοι δῷ συγχώρησιν τῶν πεπλημμελημένων.
Βέλει τρωθεῖσα τοῦ ἐχθροῦ, ψυχή μου, ἐθανατώθης
καὶ πρὸς φθορὰν κατήντησας ἀφρόνως γεγονυῖα,
καὶ τίς λοιπὸν μὴ κλαύσῃ σε, τὴν τεθανατωμένην;

3 *πεπλημμένων*

Γέεννα, σκότος, τάρταρος, βρυγμὸς ὁ τῶν ὀδόντων
μέλλουσιν ὑποδέχεσθαι, ψυχή, μετὰ τὸ τέλος,
εἴπερ ἀμετανόητος ἀπέλθῃς τῶν ἐνταῦθα.
fol. 3[b] *Ἄκρυσον, ⟨ψυχή,⟩ στέναξον, θρήνησον πρὸ ‖ τοῦ τέλους·*
πληθὺν ἁμαρτημάτων γὰρ ἀμέτρων ἐξαλείφειν
τὰ δάκρυα πεφύκασι, οἱ στεναγμοὶ καὶ θρῆνοι.
Luc. 23, 42 *Ἔσχε λῃστὴς παράδεισον τὸ „μνήσθητι“ βοήσας,*
εὗρεν δ' αὐτὴ τὴν ἄφεσιν τῶν πεπλημμελημένων
„ἡμάρτηκά σοι, δέσποτα, συγχώρησον“ εἰποῦσα.
Ζητεῖ σοῦ τὴν προαίρεσιν ὁ ἀγαθὸς δεσπότης·
τί ῥαθυμεῖς, παντάλαινα; καὶ γὰρ ἂν ἐπιστρέψῃς,
εὐθύς σοι τὴν συγχώρησιν ὁ ἀγαθὸς παράσχοι.
Ἠθέτησας τὰς ἐντολάς, ἠνόμησας, ἀθλία,
παρώργισας τὸν κτίστην σου ταῖς ἀθεσμοπραγίαις· ‖
fol. 4[a] *σπεῦσον λοιπὸν διαλλάγηθι τούτου πρὸ τοῦ θανάτου.*
„Θεὲ, θεέ μου, πλαστουργέ, μακρόθυμε θεέ μου,
μὴ παρίδῃς ⟨με⟩“, βόησον, „τὴν παροργίσασάν σε“,
καὶ πάντως ἐπακούσει σου, τῆς βεβορβορωμένης.
Ἰούδας ἄλλος γέγονας, ψυχή, τῇ προαιρέσει
Mat. 27, 5 *σαυτὴν ἀπαγχονίσασα, βαβαί, τῇ ἀπογνώσει,*
καὶ τί σοι κέρδος, ταπεινή, τῆς ὑστεροβουλίας;
Κριτής ἐστιν ἀσυμπαθὴς ὁ πλάστης σου, ψυχή μου·
καὶ τὰ καλὰ καὶ τὰ κακὰ προστίθησιν εἰς μέσον·
σπεῦσον ἐξιλεώσασθαι τούτῳ τῇ μετανοίᾳ.
Λύσιν λαβεῖν σοῦ τῶν χρεῶν, ψυχή, πρὸ τῆς ἐξόδου ‖
fol. 4[b] *σπούδασον· ὁ γὰρ θάνατος μετάμελον οὐκ ἔχει,*
κἂν ὁ κριτὴς μακρόθυμος καὶ συμπαθὴς τυγχάνῃ.
Mat. 25, 1 sqq. *Μωρὰς παρθένους ἤκουσας, ὡς ἔξω τοῦ νυμφῶνος*
ἔμεινον, κρούουσαι πικρῶς τὴν εἴσοδον οὐχ εὗρον;
μὴ οὖν θελήσῃς, ταπεινή, ταύταις ὁμοιωθῆναι.
Ναὸν, ψυχή μου, ποίησον σαυτὴν ἡγιασμένον,
καὶ σοῦ τοῦ κάλλους ἐραστὴς ὁ κτίστης καὶ δεσπότης
καταφιλήσει σε θερμῶς καὶ κατοικήσει πάντως.
Ξύλου γευσάμενος Ἀδὰμ ἐξώσθη παραδείσου·
ξένωσον οὖν σαυτὴν, ⟨ψυχή,⟩ ἐκ πάσης ἁμαρτίας
καὶ λάβοις τὸν παράδεισον, ψυχή, πρὸς κατοικίαν. ‖
fol. 5[a] *Ὁ βίος οὗτος πρόσκαιρος, ὁ κόσμος παρατρέχει,*
σὺ δὲ, ψυχή, ἀθάνατος· καὶ τί λοιπὸν οὐ τρέχεις
πρὸς ἀφθαρσίαν ἀπελθεῖν, ἀλλ' ἀγαπᾷς τὰ κάτω;

7 ὀδότων ‖ 10 ψυχὴ om. ‖ 14 πεπλημμένων ‖ 15 συγχώρησιν ‖ 23 με om. τὸν παροργίσαντά σε ‖ 36 ταύτας ‖ 39 σοι (pro σε) ‖ 41 ψυχὴ om.

Πεπωρωμένη μου ψυχή, πῶς ἐπωρώθης, λέγε;
πάντως διὰ τί τὸν θεὸν πρὸ ὀφθαλμῶν οὐκ ἔχεις;
εἰ γὰρ ἠγάπας καθαρῶς, ἐθρήνεις καθ' ἡμέραν.
„Ῥῦσαι, Χριστὲ, τῆς φοβερᾶς κολάσεώς με ῥῦσαι“
περιπαθῶς πρὸς τὸν θεὸν εἰπὲ, ψυχὴ ἀθλία,
καὶ ταύτης ἀπαλλάξει σε, φιλάγαθος τυγχάνων.
Σύνες, ταλαίπωρε ψυχὴ, θεοῦ μακροθυμίαν,
καὶ πῶς σοῦ τὴν μετάνοιαν ἐκδέχεται γνησίως
καὶ οὐ θέλει προαρπάσαι σε μὴ μετακελευσθεῖσαν. ‖
fol. 5[b] *Τὸ κάλλος προαπεμαύρωσας, ψυχή μου, τὸ ὡραῖον*
καὶ σκοτεινόμορφον αὐτὴν εἰργάσω κακοφρόνως·
ἔργα γὰρ σκότους ἔπραξας καὶ δυσειδὴς ὑπάρχεις.
Ὑπῆρξας δούλη τοῦ σατὰν, ψυχὴ, ἐξ ἀφροσύνης·
παραδοθεῖσα τῇ φθορᾷ διὰ φιληδονίαν
ὑπόδικος οὖν γέγονας πυρὶ τῷ αἰωνίῳ.
Φρικτὸν τὸ λογοθέσιον, ψυχὴ, τὸ τοῦ θανάτου·
οὐκ ἔχει γὰρ συνήγορον ἄλλον εἰ μὴ τὰς πράξεις·
ἂν γοῦν τηρήσῃς σεαυτὴν, οὐ φοβηθήσει τοῦτο.
„Χριστέ μου, Λόγε“, βόησον ἐν ὥρᾳ τοῦ θανάτου,
fol. 6[a] *„μὴ παρίδῃς δέ, φεῖσαί ⟨με⟩* ‖ *τὴν κατηχρειωμένην,*
ἀλλ' ὥσπερ εὐσυμπάθητος σῶσόν με παρ' ἐλπίδα“.
Ψυχὴ, ψυχή μου ταπεινὴ, ψυχή μου παναθλία,
ψυχὴ πολυαμάρτητε, τί οὐ θρηνεῖς πρὸ τέλους
ψυχρὸν εἶναι γινώσκουσα τὸν μετὰ τέλος θρῆνον;
Ὢ τί πικρὸς ὁ θάνατος τοῖς μὴ μετανοοῦσι!
λοιπὸν ἐπίστρεψον ὀψὲ, ψυχὴ, πρὸς τὸ συμφέρον
ὑπογραμμὸν τὸν σύλλογον ἔχουσα τῶν δικαίων.

47 *διότις* (pro *διὰ τί*) ‖ 51 *σοι* (pro *σε*) ‖ 54 *σοι* (pro *σε*) ‖ 65 *φησι. με* om. ‖ 69 *τὸ μ. τέλους θρῆνος*

Athous 4608 (B 1)

I 5.

fol. 186[b]

Ἕτερος ἀλφάβητος.

Ἀθάνατον κριτήριον, κριτὴς δικαιοκρίτης,
Βῆμα φρικτὸν καὶ φοβερὸν ἡμᾶς, ψυχὴ, ἀναμένει.
Γυμνοὶ πάντες οἱ γηγενεῖς καὶ τετραχηλισμένοι,
Δικαίως εὐθυνούμενοι, μέλλομεν παραστῆναι.
Ἐκεῖ οὐκ ἄρχει πλούσιος, οὐ βασιλεὺς ἰσχύει·
fol. 187[a] *Ζυγοστατοῦνται πράξεις γὰρ δικαίων καὶ ἀδίκων.*

Tit.: *Εἰς τὴν δευτέραν παρουσίαν· στίχοι εἰς τὸν δικαιότατον κριτὴν κατὰ* ⟨$\overline{αβ}$⟩ P ‖ 1 *Ἀδέκαστον κρ.* P ‖ 2 *ἡμῖν, ψυχή μου, μένει* P ‖ 3 *Γυμν. γὰρ π. γηγ.* P ‖ 5 *ἄρχων* B 1 ‖ 6 *δὲ* (pro *γὰρ*) P

Ἡμέρα οἵα φοβερά, ἡμέρα οἵα φρίκης
Θεοῦ ἐν γῇ δικάζοντος ὤφθη τοῖς ὑπευθύνοις!
Ἵστανται γὰρ κατήγοροι ἐλέγχοντες τὰς πράξεις
Καὶ ἐξετάζοντες κρυπτά· ὦ ποῖος φόβος τότε!
Λοιπὸν ἀνάνηψον, ψυχή, θρήνησον πρὸ τοῦ τέλους,
Μήπως ἐξαίφνης ἐπιστῇ ὁ θάνατος ἁρπάζων.
Νεκρὸς ἐν τάφῳ κείμενος μετάνοιαν οὐκ ἔχει·
fol. 187b Ξηραίνονται τὰ δάκρυα, ἄλαλος ‖ γλῶσσα μένει.
Οὐκ ἔστιν, ὥσπερ γέγραπται, μετάνοια ἐν ᾅδῃ·
Πῶς γὰρ ὁ χοῦς ὑμνήσειεν, ἀφ' οὗ καλύψῃ λίθος;
Ῥείεται καὶ παρέρχεται ὡς χόρτος πᾶσα φύσις·
Σκιά ἐστιν, ἐνύπνιον ὁ κόσμος πλάνος οὗτος.
Τί, ταπεινὴ, τοῖς γεηροῖς λοιπὸν ἐγκαταμένεις;
Ὑπτίαις δέχεται χερσὶν, ἐπίστρεψον, ὁ πλάστης.
Φιλάνθρωπε, μακρόθυμε, κύριε τοῦ ἐλέους,
fol. 188a Χρηστὸς ὢν φύσει, συμπαθής, ‖ ἐν ἐμοὶ τοῦτο δεῖξον.
Ψυχὴν ἀμετανόητον, εἰς βάθος ὀλισθεῖσαν
Ὡς ἀγαθὸς ἐλέησον, ὡς ἐλεήμων σῶσον.

7 ἡμ. πλήρη (sic) φρ. P ‖ 8 Θεὸς ἐν γῇ κολάζοντος B 1 ‖ 11 Λοιπὼν, ψυχὴ, ἐπίστρεψον, θρ . . . B 1 ‖ 12 ἐπεστῇ. αἰτάζων (pro ἁρπ.) P ‖ 13 Νεκρ. δ' ἐν . . . P ‖ 16 τάφος (pro λίθ.) P ‖ 18 Σκ. γὰρ καὶ ἐνύπν. ὁ πλ. κόσμ. οὗτ. P ‖ 19 γηραιοῖς P ‖ 22 Χριστὸς ὁ φύσ., συμπ., οἰκτείρησον, οἰκτίρμων B 1 ‖ 23 ψυχῆς μου τὰ ἐγκλήματα θεράπευσον ἐν τάχει P ‖ Inter 23—24 Ἐκ τῶν τοῦ ἁγίου Γεωργίου τοῦ ἐν τῷ Γαλατᾷ ἄννωθεν (sic) τῆς δευτέρας παρουσίας ͵αχλη' ⟨= 1638⟩ ἐν Ἰλημ ⟨= Ἱερουσαλὴμ⟩ μαρτίῳ β' interm. P ‖ 24 Ὡς ἀγ. καὶ εὔσπλαγχνος φῆσαι (sic) μου τότε, σῶτερ P.

Athous 4658 (A 2) non pagin.

II 6.

Εὐχὴ ἑτέρα ἱκετήριος εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· διὰ στίχων· κατ' ἀλφάβητον· Λέοντος δεσπότου.

Ἀνείκαστε, μακρόθυμε, Χριστέ μου, σύγγνωθί μοι.
Βάρος πολὺ περίκειμαι, κούφισον τοῦτο, σῶτερ.
Γλυκύτατέ μου δέσποτα, γλύκανον τὴν ψυχήν μου.
Δακρύων ὄμβρους, Ἰησοῦ, τοῖς ὀφθαλμοῖς μου δίδου.
Ἔκπλυνον, ἀποκάθαρον, Χριστέ μου, τὴν ψυχήν μου.
Ζωὴ ὑπάρχων, ἀγαθὲ, ζωῆς δωτήρ μοι γίνου.

Ὡραία τε καὶ ἔντεχνος ἡ εὐχὴ αὕτη πέλει | ὡς τελειοῦσα νόημα ἑκάστῳ στίχων φίλος (φίλως?) dextro in margine eadem manu A 2 ‖ Tit.: Εὐχὴ κατ' ἀλφαβίτου Λέοντος δεσπότου A 1: Εὐχὴ κατανυκτικὴ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ ἀλφάβητον B 2: Στίχοι κατὰ ἀλφάβητος B 1 ‖ 1 μου om. A 2 B 1 B 2 b 3. σιγγίνωθί b 3 ‖ 4 τοὺς ὀφθαλμοὺς A 1. Δρόσισον τὴν καρδίαν μου δρόσῳ τῆς εὐφροσύνης B 1 B 2 b 3 ‖ 5 Εὔσπλαγχνε, παντοδύναμε, γλυκύτατε Χριστέ μου B 1 B 2 b 3 ‖ 6 ὑπάρχης, μου B 1. γενοῦ A 2 B 2

Ἡ πάντων ἀγαλλίασις, γλυκύ μοι πένθος δίδου.
Θεὲ θεῶν καὶ κύριε κυρίων οἰκτειρόν με.
Ἰλάσθητί μοι, δέσποτα, τῷ παροργίσαντί σε.
Κούφισον, ἀναμάρτητε, τὰ βάρη τῶν κακῶν μου.
Λιμὴν γενοῦ σωτήριος τῷ δούλῳ σου, Χριστέ μου.
Μή με βδελύξῃ τὸν φευκτόν, ἀλλ' ἐναγκάλισαί με.
Νέκρωσον τὰ κινήματα σαρκός μου τῆς ἀθλίας.
Ξένος σου γέγονα, σωτήρ, ἀλλ' ἀνακάλεσαί με.
Οὐκ ἔχω πλὴν σοῦ βοηθὸν οὐδὲ προστάτην ἄλλον.
Πλήρωσον τὴν καρδίαν μου, Χριστὲ, τοῦ παρακλήτου.
Ῥῦσαί με τῆς κολάσεως, ῥῦσαί με τῆς γεέννης.
Σὺ μοῦ κυβέρνα τὴν ζωὴν τῇ κραταιᾷ χειρί σου.
Τῷ βέλει τῆς ἀγάπης σου τρῶσον μοῦ τὴν καρδίαν.
Ὑπάναψον τοῦ πόθου σου τὸ πῦρ εἰς τὴν ψυχήν μου.
Φωτὶ τῶν προσταγμάτων σου τὸν νοῦν μου φωταγώγει.
Χαρίτωσόν με, δέσποτα, πρεσβείαις τῆς μητρός σου.
Ψυχὴν ἐμὴν συντήρησον, σῶτερ, ταῖς σαῖς ἀγκάλαις.
Ὦ θελητὰ τῶν οἰκτειρμῶν, πλήρου μοῦ τὰς αἰτήσεις.

---

7 μου B 1 ‖ 8 *Θέλησον, εὐδιάλλακτε, καὶ σῶσόν με ὡς οἶδας* B 1 B 2 b 3 ‖ 9 *Ἵνα ἀεὶ δοξολογῶ πλῆθος σῆς εὐσπλαγχνίας* B 1 B 2 b 3 ‖ 10 *πλήθη* (pro *βάρη*) B 2 b 3 ‖ 11 *Λ. γ. τῷ δ. σου σωτήριος, Χρ. μου* B 1: *Λ. γ. τῷ δούλῳ σου, σῶτερ Χριστέ μου* B 2: *Λ. γ. τῶν δούλων σου, σὺ ὢ σῶτερ Χριστέ μου* b 3 ‖ 12 *βδελύγξῃ* A 1: *βδελύξις -ῃς* B 1 b 3. *ἐναγκάλεσαί* B 1: *ἐναγκάλισόν* B 2 b 3 ‖ 13 *N. δὲ τὰ κύματα* B 1 B 2 b 3 ‖ 14 *σου* om. b 3. *ἀνακάλεσόν* B 2 b 3 ‖ 15 *ῥύστην* (pro *πρ.*) B 2 b 3 ‖ 16 *φωτὶ* (pro *Χρ.*) B 1 B 2 b 3 ‖ 17 *τῶν κολάσεων* B 1 B 2 ‖ 18 *κυβέρνησον* attamen desuper purpura recte *κυβέρνα* B 1. *κραταίᾳ* B 2 b 2 ‖ 19 *μου* (pro *σου*) b 3 ‖ 20 *τὸν πόθον* B 1 ‖ 21 *τὸν κόσμον* (pro *τ. ν. μ.*) A 1 B 2 b 2 b 3 ‖ 23 *μέσον* B 1 B 2 b 2 b 3 (*μέσων* B 1). *τῶν ἀγκαλῶν σου* A 1 B 2 b 2 b 3: *ἀγκαλώσον* B 1 ‖ 24 *Ὦ θετὰ τ. οἰκ., δέξαι μου τ. αἰτ.* B 1 ‖ *Τέλος τῆς κατὰ ἀλφαβήτου κατανυκτικῆς εὐχῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* B 2.

Athous 4321 (B 2)

II 7.

pag. 435 *Εὐχὴ ἑτέρα εἰς τὴν ὑπεραγίαν Θεοτόκον, καὶ αὐτὴ κατὰ ἀλφάβητον δίστιχον.*

Ἀναμέλπω τὴν χάριν σου, δέσποινα,
δυσωπῶ σε, τὸν νοῦν μου χαρίτωσον.
Βηματίζειν ὀρθῶς με εὐόδωσον
τὰς ὁδοὺς τῶν Χριστοῦ διατάξεων. ‖
pag. 436 *Γρηγορεῖν με πρὸς ὕμνον ἐνίσχυσον*
ῥαθυμίας τὸν ὕπνον διώκουσα.

Δεδεμένον σειραῖς ὀφλημάτων μου
ἱκεσίαις σου λῦσον, θεόνυμφε.
Ἐν νυκτὶ καὶ ἡμέρᾳ με φρούρησον
πολεμίων ἐχθρῶν λυτρουμένη με.
Ζωοδότην θεὸν ἡ κυήσασα
νεκρωθέντα με πάθεσι ζώωσον.
Ἡ τὸ φῶς τὸ ἀνέσπερον τέξασα
τὴν ψυχήν μου τυφλώττουσαν φώτισον. ‖
pag. 437 *Θαυμαστὸν τοῦ δεσπότου παλάτιον,*
οἶκον πνεύματος θείου με ποίησον.
Ἰατρὸν ἡ τεκοῦσα, ἰάτρευσον
τῆς ψυχῆς μου τὰ πάθη, σοῦ δέομαι.
Κυματούμενον βίου τῷ κλύδωνι
μετανοίας πρὸς τρίβους με ἴθυνον.
Λύτρωσαί με πυρὸς αἰωνίζοντος,
τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ σκώληκος.
Μή με δείξῃς δαιμόνων ἐπίχαρμα,
τὸν πολλαῖς ἁμαρτίαις ὑπεύθυνον. ‖
pag. 438 *Νεοποίησόν με παλαιούμενον*
ἀθεμίτοις, πανάμωμε, πταίσμασι.
Ξένον πάσης κολάσεως δεῖξόν με
καὶ τῷ πάντων δεσπότῃ οἰκείωσον,
Ὅπως χαίρων δοξάζω, πανάμωμε,
τὸν ἐκ σοῦ σαρκωθέντα θεάνθρωπον.
Παναγία παρθένε, ἐπάκουσον
τῆς φωνῆς τοῦ ἀχρείου οἰκέτου σου.
Ῥεῖθρα δός μοι δακρύων, πανάχραντε,
τῆς ψυχῆς μου τὸν ῥύπον καθαίροντα. ‖
pag. 439 *Στεναγμοὺς ἐκ καρδίας προσφέρειν σοι*
ἀεννάως εὐόδωσον, δέσποινα.
Τὴν οἰκτρὰν ἱκεσίαν μου πρόσδεξαι
καὶ θεῷ τῷ εὐσπλάγχνῳ προσάγαγε.
Ὑπηρέτην γενέσθαι ἀξίωσον
τοῦ υἱοῦ καὶ θεοῦ σου, παντάνασσα.
Φωτοφόρε σκηνή, ἐνσκηνῶσαί μοι
τὴν τοῦ πνεύματος χάριν ἀπέργασαι.
Χεῖρας αἴρω καὶ χείλη πρὸς αἴνεσιν·
μολυνθέντα καθάρισον, ἄσπιλε. ‖
pag. 440 *Ψυχοφθόρων σφαλμάτων με λύτρωσαι*
τὸν Χριστὸν ἐκτενῶς ἱκετεύουσα,

35 *προφέρειν* B 2 b 2

Ὦι τιμὴ καὶ προσκύνησις πρέπ' ἀεὶ
εἰς αἰῶνας αἰώνων ἀένναος.

47 πρέπει B 2 b 2 ‖ Post finem: *Τέλος τῆς ἀλφαβήτου εὐχῆς τῆς ὑπεραγίας θεοτόκου* B 2.

Athous 4321 (B 2)

II 8.

pag. 433 *Εὐχὴ κατανυκτικὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον· κατὰ ἀλφάβητον.*

Ἄχραντε, πανάσπιλε, σεμνὴ παρθένε,
Βασιλέα τέξασα, θεὸν καὶ Λόγον,
Γένους τῶν βροτῶν ἀρραγὴς προστασία,
Δῶρον οὖσα μέγιστον τῶν ὀρθοδόξων,
Ἔμψυχε ναὲ τοῦ θεοῦ, ζῶντος Λόγου,
Ζώωσον κἀμοῦ τὴν ψυχὴν νεκρωθεῖσαν
Ἡδοναῖς ἀτόποις τε καὶ ψυχοφθόροις.
Θαυμαστὸν παλάτιον τοῦ βασιλέως,
Ἱλασμὸς πιστῶν καὶ ἀντίληψις κόσμου ‖
pag. 434 *Καὶ καταφυγὴ τῶν εἰς σὲ προστρεχόντων,*
Λυχνία φωτὸς τοῦ ἀδύτου καὶ θείου,
Μαρία θεόνυμφε, παντὸς κυρία,
Νοός μου διάλυσον τὴν σκοτομήνην,
Ξένον δέ με ποίησον τοῦ ἀλλοτρίου
Ὁλικῶς αὐτοῦ τῇ κακίᾳ πραθέντα·
Παῦσον τοὺς πολλούς στεναγμοὺς τῆς ψυχῆς μου·
Ῥῆξον τὰς σειρὰς τῶν κακῶν μου, παρθένε,
Σάλῳ κινδυνεύοντος παθῶν ποικίλων·
Τὰς οὐλὰς ἀφάνισον, τὰς τῆς ψυχῆς μου· ‖
pag. 435 *Ὑπὸ γὰρ τὴν σὴν ἀρρωγὴν καταφεύγω.*
Φαεινὴ παστὰς τοῦ ἀφθάρτου νυμφίου,
Χάριν τὴν ἀέννaον ἡ τετοκυῖα,
Ψυχήν μου ἀπάλλαξον παντοίας βλάβης,
Ὦ μῆτερ θεοῦ παντευλόγητε μόνη.

Belgrad. **D. N. Anastasijewić.**

Γεωργίου ἐπισκόπου Ναξίας λόγοι δύο.

Μιχαὴλ Λέκιεν ἐν τοῖς ἐπισκόποις Ναξίων ἀναγράφει καὶ Γεώργιον τὸν παρακαθίσαντα ἐν τῇ ἕκτῃ οἰκουμενικῇ συνόδῳ[1]*, τρίτῃ ἐν Κωνσταντινουπόλει, τῇ γεγονυίᾳ ἔτει* 680*, ἐν ᾗ ὑπέγραψε „Γεώργιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Ναξίας τῆς νήσου ὁρίσας ὑπέγραψα εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν τρίτην τὴν ἐν Κωνσταντινουπόλει σύνοδον".*[2] *Ἐν τοῖς συγγραφεῦσι τοῦ ἑβδόμου αἰῶνος ἀναγράφει τὸν Γεώργιον Ἀλβέρτος Ἐρχάρδος.*[3] *Τοῦ Γεωργίου λόγοι δύο ἐσώθησαν, ὧν ὁ μὲν φέρει ἐπιγραφὴν „Γεωργίου ἐπισκόπου Ναξίας περὶ τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος ἀνθρώπου".*[4] *ὁ δὲ „Τοῦ ἁγιωτάτου Γεωργίου ἐπισκόπου Ναξίας ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον καὶ ἐν ἀσκηταῖς πρώτιστον πατέρα ἡμῶν Ἀντώνιον τὸν μέγιστον καὶ εἰς τὸ θαῦμα τὸ γενόμενον ἐν Ρόδῳ ὑπ' αὐτοῦ".*[5] *Τούτων τοῦ μὲν πρώτου λόγου κεῖται ἀντίγραφον ἐν τῷ ὑπ' ἀριθμῷ γ' (φύλ.* 286[a]—287[b]*) χειρογράφῳ τεύχει, γραφέντι πιθανῶς πεντεκαιδεκάτῳ αἰῶνι, ἀποκειμένῳ ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ φιλολογικοῦ συλλόγου, ἀνήκοντι Διονυσίῳ σακελλαρίῳ τῆς μητροπόλεως Ρόδου καὶ Καρπάθου, καὶ οὗ ἀντίγραφον ἔπεμψέ μοι ὁ Ξενοφῶν Σιδερίδης· τοῦ δὲ κεῖνται ἀντίγραφα δύο, τὸ μὲν ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Γρηγορίου ἐν τῷ ὑπ' ἀριθμῷ κζ' χειρογράφῳ τεύχει γραφέντι τεσσαρακαιδεκάτῳ αἰῶνι, καὶ οὗ ἀντίγραφον ἔλαβον φροντίδι Ἱεροθέου Φλωρίδου βιβλιοφύλακος τῆς βιβλιοθήκης τοῦ ἐν τῇ νήσῳ Πάτμῳ μοναστηρίου ἁγίου Ἰωάννου τοῦ Θεολόγου· τὸ δ' ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Ἄθῳ τῷ ὄρει μοναστηρίου Παντελεήμονος ἐν τῷ ὑπ' ἀριθμῷ ψμε' (φύλ.* 54[a]*) χειρογράφῳ τεύχει ἀντεγράφη ἐκ τοῦ εἰρημένου χειρογράφου τεύχους τῆς βιβλιοθήκης Γρηγορίου ὑπ' ἀριθμῷ κζ'.*

1) Oriens Christianus, Parisiis, 1740, tom. I, col. 938.

2) Philippi Labbei et Gaspari Cossarti Sacrosancta concilia ad regiam editionem exacta., Venetiis, 1729, tom. VII, col. 1077.

3) *Παρὰ* Krumbacher, Geschichte der Byzantinischen Literatur[2], München, 1897, S. 192.

4) *Ἀ. Παπαδοπούλου Κεραμέως Κατάλογος τῶν ἐν τῷ Ἑλληνικῷ φιλολογικῷ συλλόγῳ χειρογράφων βιβλίων, ἐν Παραρτήματι τοῦ κ'—κβ' τόμου τοῦ περιοδικοῦ τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ φιλολογικοῦ συλλόγου, ἐν Κωνσταντινουπόλει,* 1892*, σ.* 78.

5) *Σπ. Π. Λάμπρου Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἑλληνικῶν κωδίκων, τόμ. α', σ.* 47*. τόμ. β', σ.* 424.

Τὸν βίον Ἀντωνίου τοῦ μεγάλου ἔγραψεν Ἀθανάσιος ὁ ἅγιος ἀρχιεπίσκοπος Ἀλεξανδρείας.[1]) Λόγον δ' εἰς τὸν μέγαν Ἀντώνιον ἔγραψε Μακάριος διδάσκαλος τοῦ ἐν Πάτμῳ σχολείου.[2]) Περὶ τοῦ γεγονότος θαύματος ἐν Ρόδῳ παρὰ τῆς εἰκόνος Ἀντωνίου τοῦ μεγάλου οὐδὲν εἶναι γνωστὸν οὐ μόνον τῇ ἐκκλησίᾳ, ἀλλ' οὐδὲ καὶ ἐν αὐτῇ τῇ Ρόδῳ ἐξ ὅσων ἠρεύνησα περὶ τούτου ἐπισκεψάμενος τὴν νῆσον. Δυοῖν θάτερον ἢ Ἀντώνιον τὸν μέγαν ἐπὶ τοσοῦτον ἐσέβετο ὁ Γεώργιος ὥστε ἐν λόγῳ νὰ ἀπομνημονεύσῃ τὸ γενόμενον ὑπ' αὐτοῦ θαῦμα ἐν Ρόδῳ, ἢ ὁ ἀνὴρ Ρόδιος ὢν ἀπεμνημόνευσεν ἐν λόγῳ τὸ γενόμενον παρὰ τοῦ Ἀντωνίου θαῦμα ἐν τῇ πατρίδι αὐτοῦ· ἐκ τῶν λόγων δὲ τοῦ Γεωργίου ἐξάγομεν ὅτι ὁ ἀνὴρ οὐ μόνον τῶν Γραφῶν ἦν ἔμπειρος ἀλλὰ καὶ τοῦ Ἕλληνος λόγου. Τὸν ἕτερον τῶν λόγων καταφανῶς συνέταξε καὶ ἀπήγγειλεν ὁ Γεώργιος λαβὼν ἀφορμὴν ἐξ ἐπιχωριαζούσης ἐκλύσεως τῶν ἠθῶν ὡς πρὸς τὰ τοῦ γάμου. Ἐνέχουσι δ' οἱ λόγοι τοῦ Γεωργίου ἠθικὴν διδασκαλίαν.

Ἐν Δελλαγράτσιᾳ Σύρου. **Περικλῆς Γ. Ζερλέντης.**

Α'

Γεωργίου ἐπισκόπου Ναξίας
Περὶ τοῦ κατ' εἰκόνα Θεοῦ πλασθέντος ἀνθρώπου.

Αὐτὸς εἶπε καὶ ἐγεννήθησάν, φησιν, ὁ Δαυὶδ· αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν· αὐτὸς ποῖος; ὁ τῶν ὅλων Θεός· ὁ μόνος κραταιὸς καὶ δυνάστης· ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος· τί δὲ εἶπε καὶ ἐγεννήθησαν; τοῦ σοφοῦ Μωϋσέως ἄκουε· εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς· ἐνετείλατο καὶ ἐκτίσθησαν ὄρη καὶ βουνοί· πεδία καὶ φάραγγες· εἶπεν· ἐξαγαγέτω τὰ ὕδατα πετεινὰ ψυχῶν ζωσῶν· ἡ δὲ γῆ ἐξαγαγέτω ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία· καὶ ἐγένετο οὕτως· ἐπὶ δὲ τῇ τοῦ ἀνθρώπου πλάσει, οὐχ οὕτως. Ἀλλ' εἶπεν ὁ Θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων· αὐξάνεσθε καὶ

1) S. Antonii abbatis vita, ἐν Migne Patr. gr., tom. XL, col. 957—60.

2) Εὐαγγελικὴ σάλπιγξ συντεθεῖσα παρὰ τοῦ σοφωτάτου κυρίου Μακαρίου τοῦ ποτὲ χρηματίσαντος τῆς ἐν Πάτμῳ σχολῆς ἱεροδιδασκάλου, ἐκδ. Σταματίου Νικολαΐδου, ἐν Ἀθήναις, 1867, σ. 313—320.

6 ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, Γεν. α', 20 14 καὶ ηὐλόγησεν αὐτοὺς ὁ Θεός, Γεν. α', 28.

πληθύνεσθε. Εἰ οὖν ὁ Θεὸς κατ' εἰκόνα ἑαυτοῦ δημουργεῖ τὸν ἄνθρωπον ἄρσεν καὶ θῆλυ, καὶ εὐλογεῖ τὸν ἄνθρωπον ἄρσεν καὶ θῆλυ, καὶ εὐλογεῖ αὐτοὺς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, τίς εἶ σύ, ὦ ἄνθρωπε, οὔτε ἀνταποκρινόμενος τῷ Θεῷ, καὶ ἐντρεπόμενος τὸν νόμιμον γάμον; ἡ γὰρ εὐλόγησις ἡ τοῦ ἱερέως τοῖς νεονύμφοις, ἀντὶ τῆς εὐλογίας γίνεται, ἧς εὐλογήθη ὁ Ἀδὰμ μετὰ τῆς Εὔας παρὰ Θεοῦ· τί δὲ τὰ στέφανα εἰκονίζουσιν, ἀλλ' ἢ δόξαν καὶ τιμὴν τοῖς νεονύμφοις; καὶ τίμιον δεικνῦσι τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον· καὶ ὅρα μοι συνετῶς. Περὶ μὲν γὰρ πάντων τῶν ἐν γῇ καὶ ἐν τῇ θαλάσσῃ εἶπε καὶ ἐγεννήθησαν λέγει· περὶ δὲ τοῦ ἀνθρώπου οὐ λέγει ὅτι εἶπε καὶ ἐγένετο ἄνθρωπος· ἀλλὰ μέγα δείκνυσι ποίημα τοῦτον· τίμιόν τε καὶ οἰκειότατον· λέγει γάρ, καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ἤδη, ἀγαπητέ, πῶς τὸ κατ' εἰκόνα ἑαυτοῦ ἄρσεν καὶ θῆλυ ἐποίησεν, οὐκοῦν λοιπὸν ὁ πλάσας καὶ ποιήσας τὸν ἄνθρωπον αὐτὸς καὶ τὴν γυναῖκα ἐποίησε· καὶ κατ' εἰκόνα ἑαυτοῦ καὶ ταύτην ἐποίησε· δυϊκῶς γάρ, φησιν, ὅτι κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτούς· ἵνα τί τοὺς κατ' εἰκόνα ἑαυτοῦ γεγονότας ἄρσεν καὶ θῆλυ ποιεῖ καὶ εὐλογεῖ τούτους λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, ἢ ἄλλο, εἰμὴ ἵνα διὰ τῆς ἑνώσεως καὶ τῆς συναφείας τὸ γένος συνιστῆται τὸ ἀνθρώπινον; ἄφελε γὰρ τὸν γάμον· καὶ πάντη τὸ πλάσμα ἐξήλειπται· διὰ τοῦτο ὁ γάμος χρήσιμος τῷ ἀνθρωπίνῳ γένει· ἵνα πληρῶται ἡ τοῦ δεσπότου φωνὴ ἡ λέγουσα αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. Ὦ τῆς τοῦ δεσπότου τιμῆς ἧς ἠξίωμαι· ὅτι καὶ ἐνεφύσησε λέγει καὶ δέδωκέ μοι ψυχὴν ζῶσαν· καὶ ἄρχοντα τῶν γενομένων κατέστησέ με ἐν γῇ τε καὶ ἐν θαλάσσῃ· ὁρᾷς πῶς πάντα τίμια καὶ ἔνδοξα τὰ τῆς πλάσεως; τὸ τοῦ ἐμφυσήματος, τὸ κατ' εἰκόνα, καὶ ὅτι πάντα τὰ ἐν τῇ θαλάσσῃ καὶ τὰ ἐν τῇ γῇ, ὡς δοῦλα ἐγένετο καὶ πολλά· ὁ δὲ ἄνθρωπος ὡς τίμιόν τι κτῆμα καὶ βασιλεῦον, εἷς ἐπλάσθη παρὰ τοῦ Θεοῦ, καὶ μία γυνὴ ἐδόθη αὐτῷ. Ἐπεὶ οὖν, ὦ ἄνθρωπε, κατ' εἰκόνα ἐπλάσθης Θεοῦ, αἰδέσθητι τὸ πρωτότυπον· αἰδέσθητι τὸν ἐμφυσήσαντά σε καὶ ψυχὴν δωρησάμενον, καὶ μίαν ἔχε γυναῖκα, καὶ μὴ τοῖς ἀλόγοις ἐξομοιοῦ· ὁ γὰρ πορνεύων καὶ μοιχεύων τούτοις ὡμοίωται· καὶ ἐξέστη πάντη τοῦ εἶναι ἄνθρωπος· καὶ τί λέγω ὅτι ἐξομοιοῦται ἀλόγοις, ὅτι καὶ πέρα τούτων ἐστίν· αὐτὰ γὰρ οὐκ ἔσχον νόμον, οὐδὲ ἓν ζεῦγος ἐποίησεν ὁ Θεὸς ἐν τῷ γένει αὐτῶν, ἀλλὰ πολλά, ἵνα ἀλλήλοις συνευνάζωνται εἰς τὸ πληθύνεσθαι, οἷον ἂν θῆλυ τὸ ἄρσεν εὕρῃ· ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ οὕτως ἐγένετο, ἀλλὰ εἷς

---

18 ὁ ἀνταποκρινόμενος τῷ Θεῷ 22 δεικνύουσι 34 συνίσταται 36 πληροῦται 42 ἐγένοντο

ἀνὴρ καὶ μία γυνὴ γέγονεν, ἵνα εἷς ἕκαστος τῶν γενομένων τὴν ἰδίαν γυναῖκα ἔχῃ, ἄλλην δὲ οὐχί· ἔτι δὲ βλέπομεν καὶ ἐν τοῖς ἀλόγοις τὸν τῶν ἀνθρώπων ὅρον φυλάσσοντα, καὶ τὸν ἄρσενα ἔχοντα τὸ ἴδιον θῆλυ, οἷαι ἡ περιστερὰ καὶ ἡ τρυγών. Φρίξον οὖν, ἄνθρωπε, καὶ συντρόμαξον ὅτι καὶ τοῖς ἀλόγοις ὑπερῆρας τῇ ἀφροσύνῃ· καὶ πῶς τολμᾷς λέγειν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς; ὅτι τῆς υἱοθεσίας ἐξώθησας σεαυτόν· τοῖς γὰρ φυλάσσουσι τὸ κατ' εἰκόνα εἴρηται, ὅτι ἔσομαι ὑμῖν εἰς πατέρα καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας· τοῖς δὲ πόρνοις καὶ μοιχοῖς εἴρηται· ὅτι ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, ἀλλὰ παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς, ὅτι πρὸς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτισεν.

Ὁ δὲ θεῖος Παῦλος κελεύει ἡμᾶς μηδὲ συνεσθίειν τῷ τοιούτῳ. Ἐννόησον οὖν, ὦ ἄνθρωπε, ὅσος ἐστὶν ὁ μιασμός, ὅτι μηδὲ συγχρᾶσθαι τούτοις ἐγκελευόμεθα· καὶ δικαίως· εἰ γὰρ ὁ νόμος ὁ παλαιὸς κολάζει τούτους, ὁ δὲ Χριστὸς πλήρωμα νόμου ἐστὶ καὶ οὐχὶ κατάλυσις ὡσεὶ μιᾶς ι ἢ κεραίας, ὡς τὰ θεῖα αὐτοῦ ἡμᾶς ἐκδιδάσκουσι λόγια καὶ βλέμμα πρὸς ἀλλοτρίαν μὴ συνιστάναι, πῶς οὐκ ἔσται ἀκάθαρτος καὶ ξένος ἀπὸ Χριστοῦ ὁ ἀντὶ τοῦ εἶναι μέλος Χριστοῦ, τῇ πόρνῃ κολλώμενος καὶ ἓν μέλος μετ' αὐτῆς γενόμενος; πόρνη γάρ ἔστι πᾶσα ἡ ἀνόμως συναπτομένη, καὶ οὐ σῶμα Χριστοῦ ἐστίν· οὐδὲ μέλος Χριστοῦ· ὁ πορνεύων, οὐδὲ μετὰ Χριστοῦ ἐστίν, ἀλλὰ κατὰ Χριστοῦ· καὶ ψεύδεται ὁ τοιοῦτος λέγων χριστιανὸν ἑαυτόν, καὶ δικαίως ἀπείργεται παρὰ τοῦ θείου Παύλου συνεσθίειν χριστιανοῖς· ὅτι τὴν κλῆσιν τοῦ Χριστοῦ κενὴν εἰς ἑαυτὸν περιφέρει, καὶ ἐξέστη πάντη τοῦ εἶναι ἄνθρωπος, καὶ ἀλόγοις ἐξωμοιώθη, καὶ οὐδὲ ζῴοις εὐχρήστοις τοῖς προρρηθεῖσιν, οἷον δὴ λέγω τρυγόνας τε καὶ περιστεράς, ἀλλὰ ζῴοις ἀχρήστοις, χοίροις δὴ λέγω καὶ κυσὶ καὶ ὄνοις. Διατὶ δὲ οὐ πάντα τὰ ζῷα τὴν αὐτὴν φυλάττει τάξιν, ἀλλὰ τὰ μὲν πρὸς ἄλληλα συνευνάζεται· τὰ δὲ, ὥσπερ αἱ τρυγόνες καὶ αἱ περιστεραί, φυλάττει τὴν ἑαυτῶν κοίτην ἐν τάξει καλῇ; εἰς ἔλεγχον καὶ κατάκρισιν ἡμῶν τοῦτο γίνεται τῶν λόγῳ τιμηθέντων καὶ ἐν εἰκόνι Θεοῦ πλασθέντων, ἵνα κἂν διὰ τούτων παιδαγωγώμεθα, αἰδεσθέντες τὸ κατ' εἰκόνα· διατί δὲ καὶ ἡμεῖς οὕτως ἐγενόμεθα, ὥστε ὀρέγεσθαι κοίτην τὴν οὐκ ἰδίαν; ὅτι παρὰ τοῦ Θεοῦ εὐεργεσίαν λαβόντας τοῦ εἶναι καὶ λέγεσθαι ἀνθρώπους καὶ εἰκόνα Θεοῦ, καὶ γινώσκειν καλὸν καὶ πονηρόν, ἀφῆκεν ἡμᾶς ὁ Θεὸς καὶ ὀρέγεσθαι καὶ πειράζεσθαι καὶ ἐκτρέπεσθαι τὸ κακὸν μετὰ βίας, ἵνα μισθοῦ πρόξενος γένηται ὁ πειρασμὸς εἰς ἡμᾶς· ὅπως ἀποστυγοῦντες τὸ πονηρόν· καὶ κολ-

---

56 ἢ ὡς ἡ περιστερά 69 συνιστᾶν 80 συνευνάζονται ἢ ὡς αἱ τρυγόνες 86 ἄνθρωπος καὶ εἰκὼν Θεοῦ 89 τῷ πονηρῷ· (ὅπως ἀποστυγοῦντες τὸ πονηρόν, Παύλ. Ρωμ. 12, 9).

λώμενοι τῷ ἀγαθῷ, τὸν μισθὸν ἀπολαύωμεν· εἰ δὲ προτιμήσομεν τὴν ἰδίαν ὄρεξιν ὑπὲρ τοῦ ἀγαθοῦ κατακριθείημεν δικαίως, ὥσπερ καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐγεγόνει. Καὶ μὴ μεμφέτω τις τὸν Ἀδὰμ ὡς παραβάντα καὶ ἐξωσθέντα, ὅτι καὶ ἕκαστος ἡμῶν πάσχει ταῦτα καθ' ἑκάστην, καὶ παραβαίνει καὶ κατακρίνεται· καὶ γὰρ πάντα εἰς νουθεσίαν ἡμῶν γέγραπται. Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι ὁ Ἀδὰμ οὐκ οἶδέ τινα παραβάντα καὶ κατακριθέντα ὅπως αὐτὸς φυλάττῃ τὰ προσταχθέντα· ἡμεῖς δὲ μυρία τὰ ὑποδείγματα ἔχοντες καὶ μὴ βελτιούμενοι ποίαν ἕξομεν τὴν ἀπολογίαν; διατί δὲ τὰ ἄλογα ζῷα οὐ συνευνάζεται μετὰ τὸ συλλαβεῖν, ἡ δὲ λογικὴ φύσις ζητεῖ εὐνήν; ὅτι μίαν γυναῖκα καὶ ὁ Θεὸς ἐκέλευσεν ἔχειν ἕκαστον τῶν ἀνθρώπων. Ἵνα οὖν τὰς ἐπιθυμίας ἀπάσας μετ' αὐτῆς καταστέλλῃ, καὶ μὴ ζητῇ ἄλλην, ἵνα μὴ μιάνῃ τὸ κατ' εἰκόνα, διὰ τοῦτο ἡ πρόνοια τοῦ Θεοῦ εὐδόκησεν οὕτω γενέσθαι. Ἐπεὶ γάρ, ὡς ἔφημεν, τὰ ἄλογα ὡς δοῦλα εἰς χρείαν τοῦ ἀνθρώπου γενόμενα λόγῳ μόνῳ παρήχθησαν καὶ πολλὰ ἐγένετο, νόμος αὐτοῖς οὐκ ἐδόθη, ἀλλὰ πρὸς ἄλληλα συνευνάζεσθαι ἀφείθη ὡς βούλονται· ἐδόθη τούτοις τὸ μὴ εὐνὴν ζητεῖν ἐγκυμονοῦντα ἕως ἂν γεννήσωσιν· ὁ δὲ ἄνθρωπος ἐπεὶ τίμιον κτῆμα ἐγένετο καὶ κατ' εἰκόνα ἐπλάσθη χειρὶ Θεοῦ τιμηθείς, καὶ ψυχὴ ἀθάνατος ἐδόθη αὐτῷ, ἵνα μὴ ἐν ἄλλῃ κοίτῃ μιαίνηται, διὰ τοῦτο δεδώρηται τῇ γυναικὶ καὶ ἐγκυμονούσῃ, συνευνάζεσθαι μετὰ τοῦ ἀνδρὸς αὐτῆς. Ταῦτ' οὖν εἰδότες, ὦ ἄνθρωποι, αἰδεσθῶμεν τὸ κατ' εἰκόνα, ἔτι δὲ καὶ τὴν φύσιν αὐτήν· αἰδεσθῶμεν τὴν ψυχὴν τὴν ἀθάνατον, καὶ μὴ μιαίνωμεν ἑαυτούς· ὅτι διὰ τῆς σαρκὸς τῆς θνητῆς συμμιαίνεται καὶ ἡ ἀθλία ψυχὴ καὶ κολάζεται αἰωνίως· καὶ τί ἡμῶν ὄφελος διὰ πρόσκαιρον ἡδονὴν τῆς σαρκὸς κολάζεσθαι αἰωνίως σὺν τῇ ψυχῇ; Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ἡμῖν, φησὶν ὁ θεῖος Παῦλος· καὶ πάλιν, οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ Θεοῦ; καὶ πάλιν· ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους· μὴ οὖν ποιῶμεν τὰ μέλη τοῦ Χριστοῦ πόρνης μέλη, ἀλλὰ φυλάξωμεν αὐτὰ καθαρὰ ἐν Χριστῷ, ἵνα ἐλθὼν ὁ Χριστὸς ἀγαπήσῃ τὰ μέλη ἐν δόξῃ τὰ ἑαυτοῦ, καὶ εἰς τὴν βασιλείαν εἰσδέξηται ἑαυτοῦ καὶ ἀγαλλιασώμεθα αἰωνίως μετὰ τῶν ἀγγέλων χορεύοντες καὶ δόξαν ἄληκτον προσφέροντες τῷ εὐεργέτῃ Θεῷ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

---

91 κατακριθῶμεν 98 συνευνάζωνται 104 ἐγένοντο 106 ἐγγυούσας 109 ἐγγυμονούσῃ

Β

Τοῦ ἁγιωτάτου Γεωργίου ἐπισκόπου Ναξίας

Ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον καὶ ἐν ἀσκηταῖς πρώτιστον πατέρα ἡμῶν Ἀντώνιον τὸν μέγιστον, καὶ εἰς τὸ θαῦμα τὸ γενόμενον ἐν Ρόδῳ ὑπ' αὐτοῦ.

Ἀντωνίου τοὺς ἄθλους καὶ τὰ παλαίσματα τίς ἐκθειάσει βροτῶν; ἔδει γὰρ ὡς ἀληθῶς ἔδει, μὴ γλῶσσαν ἀνθρωπίνην φθέγγεσθαι, ἀλλ' ἄγγελον εἶναι τὸν ἐπαινέτην· καὶ γὰρ ὑπερῆρεν ὁ ἐπαινούμενος τὴν ἀνθρωπίνην φύσιν πᾶσαν τοσοῦτον, ὅτι καὶ μετὰ ἀσωμάτων παλαίων ἐπικρατέστερος πέφηνε καὶ τούτους ὑπερενίκησεν. Ἄξιον οὖν τοῦτον ταῖς τοῦ Δεσπότου φωναῖς ἐκθειάζειν. Αὐτὸς γάρ, φησι, διὰ τοῦ προφήτου, ὅτι τοὺς δοξάζοντάς με δοξάσω. Δοξάσας τοίνυν ὁ μέγας Ἀντώνιος τὸν Δεσπότην ὡς ἔδει, ἐδόξασεν αὐτὸν ὁ Δεσπότης ὡς ἔδει καὶ παρὰ πάντας ἐν ἀγγέλοις τε καὶ ἐν ἀνθρώποις καὶ κοινὸν διήγημα καὶ θαῦμα πᾶσι τοῦ Παρακλήτου τοῦτον προτέθεικεν· ἡ γὰρ χάρις τοῦ Παρακλήτου ἡ εἰς αὐτὸν ἐνοικήσασα καὶ μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὴν μονὴν ἐν αὐτῷ καταστήσασα τοσοῦτον αὐτὸν ἐπύρωσε καὶ κατελάμπρυνεν, ὥστε ἀναχωνεῦσαι τὸν πήλινον ἀνδριάντα τούτου καὶ τῇ χάριτι πύρινον καταστῆσαι τοσοῦτον, ὥστε καὶ ὡς ἄσαρκον καθορᾶν τὰς τῶν ψυχῶν ἀνόδους καὶ τὰ μακρὰν γινόμενα ἐνοπτρίζεσθαι, καὶ τὰ μήπω γενόμενα προλέγειν ἐν πνεύματι. Ἀλλὰ ταῦτα μὲν καὶ ἐν ἄλλοις ἁγίοις εὑρήσεις γινόμενα, οὐ πάντα δὲ εἰς ἕνα· μόλις γὰρ ἑκάστῳ τι καὶ τοῦ ἑνὸς ἐκεχάριστο· τούτῳ δὲ πάντα ἐπεδόθη παρὰ τοῦ δικαίου κριτοῦ καὶ πλεῖον ὑπὲρ ὃ νοῆσαι ἢ εἰπεῖν δυνάμεθα· ἐπεὶ πόρρω τῆς ἀξίας ταύτης ἐσμέν. Καὶ κατὰ μὲν τὸ δίκαιον ἔδει ἡμᾶς σιωπᾶν καὶ τὰ ὑπὲρ ἀξίαν μὴ διισχυρίζεσθαι, ἀλλὰ τὴν χεῖρα τιθέναι τῷ στόματι, καθὼς Σολομῶν φησι, καὶ μὴ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν· ἀλλ' ὁ ἡμέτερος Δεσπότης ⟨καὶ⟩ ἡμῶν Θεὸς τοσοῦτόν ἐστιν ἀγαθὸς καὶ φιλάνθρωπος, ὅτι καὶ ὑπὲρ τὸ δίκαιόν ἐστι· καὶ δέχεταί ποτε τὰ πρὸς τὸν ναὸν αὐτοῦ προσφερόμενα οἷα καὶ ὅσα, ὥστε καὶ τρίχας αἰγῶν οὐκ ἀξιοῖ ἀπαναίνεσθαι, ἀλλὰ προσδέχεται ταύτας· οὐκ ὀφθήσει γάρ, φησι, κενὸς ἐναντίον μου· ὅτι τὸ ὀφθῆναι κενὸν τῆς ἀμελείας ἐστὶ τεκμήριον, τὸ δὲ προσάγειν ὃ ἔχει τῆς σπουδῆς καὶ προθυμίας ἐνδεικτικόν· καὶ διὰ τοῦτο, ὥσπερ κατεδέξατο δι' ἄκραν φιλανθρωπίαν ἄνθρωπος γενέσθαι καὶ ἀναδέξασθαι τὸ ἡμέτερον ὄφλημα τὸ ὀφειλόμενον ἐπιτίμιον, οὐκ ἀπαξιώσει δέξασθαι καὶ τὸ παρ' ἡμῶν κατὰ δύναμιν προσφερόμενον. Δέξεται οὖν πάντως τοῦτο, καὶ ἀντιδώσει ἡμῖν ἀντίλυτρον τῶν ἁμαρτιῶν τὴν συγχώρησιν· ἀλλὰ δὴ καὶ ὁ θεῖος Ἀντώνιος μιμητὴς

---

7 ἀνακόλουθον σχῆμα. 18 ἀλλ' ἐπεὶ ὁ ἡμέτερος 21 ἀπαξιῶν προσδέχεσθαι 26 οὐκ ἀπαξιώσει τοῦ

τούτου γενόμενος, ὡς τὸν σταυρὸν ἑαυτοῦ βαστάσας καὶ αὐτῷ κατόπιν ἀκολουθήσας, δέξεται πάντως καὶ αὐτὸς καὶ τὸ ἐξ ἡμῶν προσφερόμενον πρὸς αὐτὸν κατὰ δύναμιν, καὶ ἀναπληρώσει αὐτὸς δι' εὐχῶν ἅπερ δι' ἀσθένειαν ἡμῖν ὑπολέλειπται.

Ὁ θεῖος καὶ μέγας Ἀντώνιος ἀνὴρ Αἰγύπτιος μὲν ἦν τὸ γένος, ἀλλὰ τὰ χειροποίητα τῆς ἁμαρτίας καθεῖλεν ὀχυρώματα, καὶ ὡς ἄλλος Μωϋσῆς τὸν τοῦ Θεοῦ λαὸν ἐν ἐρήμῳ διαγαγὼν ἐκ τῆς αἰγυπτιακῆς ἁμαρτίας πρὸς τὴν γῆν τῆς ἐπαγγελίας τὴν ἄνω Ἱερουσαλὴμ γενέσθαι ἐποίησεν. Ἐὰν δὲ καὶ ὑπὲρ Μωυσέα τοῦτον εἴπωμεν, οὐκ ἂν διαμάρτοιμεν· ὅτι ὁ μὲν Μωϋσῆς ἐν Αἰγύπτῳ μόνον ἀνῆκε λαὸν τὸν Ἰσραηλίτην, οὗτος δὲ τοὺς ἁπανταχοῦ τῆς οἰκουμένης τοῦ κόσμου καὶ τῆς αἰγυπτιακῆς ἁμαρτίας ἀναχωρῆσαι καὶ τὰς ἐρήμους ἁγιασθῆναι καὶ τὰ σπήλαια πεποίηκε, διὰ τῆς πολυδώρου χάριτος τῆς δοθείσης αὐτῷ. Ὁ Μωϋσῆς κρούσας πέτραν, ὕδωρ ῥεῖν ἐπαφῆκεν, οὗτος δὲ ποταμοὺς ἐκ τῆς ἑαυτοῦ κοιλίας ἀναβλύζει καὶ πάντας πιστοὺς ποτίζει καὶ ζωογονεῖ τῷ ῥήματι τῷ ζωτικῷ τῷ ἐκπορευομένῳ διὰ στόματος Θεοῦ· ὁ Μωϋσῆς ἐν στήλῃ πυρὸς καὶ ἐν νεφέλῃ τὸν Ἰσραὴλ ὁδηγεῖ, ἀλλὰ τότε, ἐν τῷ ἐκείνῳ καιρῷ. Οὗτος δὲ ἔτι καὶ νῦν ἐκ τῆς ἑαυτοῦ εἰκόνος πῦρ ἀποπέμπων καὶ ἀποκτείνων καὶ διχοτομῶν τὸν ἄπιστον, ὁδηγεῖ τὸν Νέον Ἰσραὴλ τῇ πίστει ἕπεσθαι καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας φθάνειν, τὴν ἄνω Σιών, τὴν τῶν πρωτοτόκων ἐκκλησίαν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς· ὁ Μωϋσῆς ἐν τῇ ἐρήμῳ τότε ἐφάνη τερατουργῶν, οὗτος δὲ ἁπανταχοῦ τῆς οἰκουμένης προσκαλούμενος ἐν θαλάσσῃ καὶ ἐν ἠπείρῳ τὰς εὐεργεσίας ἐμπίπλησι. Τί μοι πολυλογεῖν; ἄξιόν ἐστιν Ἀβραὰμ καλεῖν τοῦτον, ὅτι πατέρα πολλῶν ἐθνῶν ὁ Θεὸς αὐτὸν ἔθετο, ἐκ πολλῶν γενεῶν συνηθροισμένων· ὁ γὰρ Χριστός, τὸ πῦρ ἐλθὼν βαλεῖν ἐπὶ τὴν γῆν τοσοῦτον εὗρεν ἀξίαν τὴν τοῦ θείου Ἀντωνίου ψυχήν, καὶ τοσοῦτον ἀνῆψεν ἐν αὐτῇ, ὅτι οὐ μόνον ἐν τῷ βίῳ περιὼν τούτῳ σημεῖά τε καὶ τεράστια ἐποίησε δι' αὐτοῦ (καὶ κατὰ τὴν τοῦ Κυρίου ἐπαγγελίαν, τὴν ὅτι μείζονά μου ἔργα ἐργάσεται λέγουσαν ὅστις εἰς ἐμὲ γνησίως διάκειται καὶ κατὰ τὴν ἐμὴν πρόσταξιν ἀκριβῶς πολιτεύεται, καὶ ὑπερῆρεν ἐν θαύμασιν, ὥστε τοὺς θαυμασθέντας ἐν θαύμασιν ἐκπλήττεσθαι πάντας καὶ ἐκθαμβεῖσθαι ἐπὶ τοῖς γινομένοις ὑπ' αὐτοῦ παραδόξοις διὰ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος), ἀλλὰ καὶ μετὰ πότμον θαυματουργοῦν τὰ ἐξαίσια τὸ ὄνομα τούτου ἐπικαλούμενον δείκνυται· καὶ ἡ εἰκὼν αὐτοῦ, ἐκ χρώματός τινος συνισταμένη, πῦρ ἀποπέμπει καὶ φλογίζει ἐχθροὺς τοὺς ἀθέους καὶ ἄφρονας.

---

29 Ἐν τῷ χειρογράφῳ τεύχει ἄνωθεν τῆς λέξεως γενόμενος ὑπάρχει καὶ ἡ λέξις ὑπάρχων. 40 ἀναχωρῆσαι ἐποίησε 54 ἐκ πολλῶν γενεῶν μὲν συνηθροισμένων 54—55 τὸ πῦρ ἦλθε βαλεῖν 63 θαυματουργῶν

Εἶπε γὰρ ὁ ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεὸς ὁ ὑπερμαχῶν αὐτῷ. Τί γάρ; εἰκὼν ἔστι τὸ φαινόμενον χρῶμα ὀλίγον, μορφὴν ἀνθρώπῳ ὁμοιουμένη· ἀλλ' οὐκ ἔστιν ἐν αὐτῇ πνεῦμα. Ταῦτα ἐλογίσατο καὶ ἐπλανήθη ὁ δείλαιος· ἀπετύφλωσε γὰρ αὐτὸν ἡ ἀφροσύνη· ἔλαβε ξίφος, ὥθησε κατὰ τῆς εἰκόνος· ὢ πόσον κακὸν ἡ ἀφροσύνη· ὅτι εἰς ἀθεΐαν καταντᾷ· εἰ γὰρ ἔλεγεν ἐκεῖνος ἐν ἑαυτῷ, ὅτι Θεός ἐστιν ὁ Χριστός, εἶπεν ἄν, ὅτι οὗτος Χριστοῦ δοῦλος γνησιώτατός ἐστιν, οὗ ἡ εἰκὼν αὕτη· καὶ εἰ ἀνοίκειόν τι ἐπιχειρήσω ποιῆσαι ἐν αὐτῇ οὐκ ἀτιμώρητος ἔσομαι· οἱ γὰρ ὀφθαλμοὶ Κυρίου σκοπεύουσιν ἀγαθοὺς καὶ κακοὺς καὶ ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ Θεοῦ εἰσιν ὁδοὶ ἀνδρός· πῶς γὰρ οὐκ ἀκούσει ὁ φυτεύσας τὸ οὖς καὶ ἀνταποδώσει μοι; πῶς δὲ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐ κατανοήσει καὶ κρινεῖ με; πῶς ὁ παιδεύων ἔθνη οὐκ ἐλέγξει τὴν ἀφροσύνην μου; Πάντως ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ ἴδοι κἀμὲ ὃ ποιήσω καὶ οὐκ ἐκφεύξομαι τῆς αὐτοῦ ἀνυποστάτου ὀργῆς τῆς ἐπὶ τοὺς ἁμαρτωλοὺς πεμπομένης. Μὴ οὖν ἀναιδῶς διαθῶμαι κατὰ τῆς εἰκόνος τοῦ γνησίου αὐτοῦ δούλου, τοῦ ἐνδοξαζομένου ἐν βουλῇ ἁγίων αὐτοῦ· Οὐδὲν τοιοῦτον ἔφη· ἀλλ' ἀφρόνως καὶ ἀσεβῶς ὡς οἱ θεοκτόνοι Χριστὸν καὶ οὗτος κατὰ τῆς εἰκόνος τοῦ μιμητοῦ τοῦ Χριστοῦ ὥθησεν· ὁ δὲ Χριστὸς οὐκ ἠμέλει, δεικνὺς ὅτι ἐστὶ Θεός· οὐδὲ τὸν μιμητὴν αὐτοῦ καὶ γνήσιον δοῦλον δοξάσαι οὐκ ἠβουλήθη. Οὐκ ἠμέλει τοίνυν ἡ θεία δίκη· ἀλλ' εὐθέως πῦρ ἐκ τῆς τομῆς ἐκπηδῆσαν, τοῦ ἀθλίου ἥψατο καὶ ἀνῆπτε, καὶ ὡς κηρὸς ὁ ἄφρων ἐτήκετο ἐκ προσώπου πυρὸς τῆς ὀργῆς τοῦ Θεοῦ· καὶ ἐν τῇ φλογὶ ᾗ ἐξέκαυσεν ἐπορεύετο· ἐκεῖνος δὲ δι' ἀφροσύνης ἀπληστίαν οὐδ' οὕτως συνῆκε τοῦ ἀγαθῦναι καὶ μετανοῆσαι, ἀλλ' ἀπελθὼν ἐν τῇ θαλάσσῃ αὐτὸν ἐνέβαλε, μὴ λογισάμενος ὁ ἄθλιος ὅτι οὔκ ἐστιν ἐκεῖνο πῦρ τὸ σβεννύμενον ὕδατι· ἀλλὰ τῆς ὀργῆς τοῦ Θεοῦ ἐστι πῦρ, τοῦ διακόπτοντος φλόγα πυρὸς καὶ ἐρημοῦντος ὄρη καὶ βουνούς, καὶ ἕλη ξηραίνοντος, τοῦ ἐκ τῆς τηλαυγήσεως αὐτοῦ χάλαζαν καὶ ἄνθρακας πυρὸς ἐπιπέμποντος καὶ φλογοῦντος κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ· ἀλλ' ἐδόκησε δι' ἀφροσύνην ὅτι σβέσαι τοῦτο ἐν ὕδατι δύναται. Διὸ καὶ ἐν τῇ θαλάσσῃ εἰσελθὼν ὡς παίζων ἐν οὐ παικτοῖς κατεκαύθη καὶ τέθνηκεν. Ἐγὼ δέ, φημι, ὡς ἐμοὶ δοκεῖ, ὅτι ἀρχὴν ἔλαβεν ἀπ' ἐντεῦθεν ὑπέκκαυμα γίνεσθαι τοῦ αἰωνίου πυρός, καὶ ἐξ ἐκείνου τοῦ πυρὸς ἐξαπεστάλη τὸ πῦρ ἁρπάσαι τοῦτον καὶ θανατῶσαι ἐν οὐ καιρῷ καὶ καταβιβάσαι εἰς Ἅδου ζῶντα· καὶ δῆλον τοῦτο ἐκ τοῦ μὴ σβεσθῆναι ἐν τῇ θαλάσσῃ. Ὢ ξένων τεραστίων καὶ θεαμάτων· ὢ φοβεροῦ κρίματος· ὢ θεηλάτου πληγῆς ἀνιάτου· ὡς ὁ Ἰούδας ἀμετα-

---

68 ἀνθρώπου 73 ἄοικόν τι 76 καὶ ἀνταποδώη 81 διαθήσομαι 95 φλογιοῦντος

νόητος ἀπῆλθεν ὁ δύστηνος, ἀφρόνως τὴν ζωὴν ἀπορρήξας καὶ ἐκ φλογὸς εἰς φλόγα παραπεμφθεὶς τὴν αἰώνιον· μᾶλλον δὲ δεῖ εἰπεῖν ὅτι ἡ φλὸξ ἀπ' ἐντεῦθεν ἥρπασεν αὐτὸν ἡ αἰώνιος. Ἐμβλέψατε, ἄφρονες, καὶ συνίετε καὶ μὴ βλασφημῆτε τὸ ὄνομα Κυρίου, ὅτι κριτής ἐστι δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν· ἐὰν δὲ μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. Οὕτω γὰρ ἐγεγόνει καὶ εἰς ἐκεῖνον τὸν ἄθλιον· ἐστιλβώθη κατ' αὐτοῦ ἡ φλογίνη ῥομφαία, τὸ τόξον τῆς τοῦ Θεοῦ ἀπειλῆς ἐτανύθη κατ' αὐτοῦ· ἡτοιμάσθη ἐν αὐτῷ σκευὴ θανάτου· ἐξαπεστάλη κατ' αὐτοῦ βέλος κατακαῖον. Ἐκεῖνος δὲ ὁ ἄφρων οὐ συνῆκεν ὅτι ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἐστι καὶ πάντα ὅσα ἠθέλησεν ἐποίησεν ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις· οὐκ ἠβουλήθη συνιέναι καὶ εἰσελθεῖν ἐν τῷ ταμιείῳ τοῦ μεγίστου Ἀντωνίου ἐναποκρυβῆναι ἐν μετανοίᾳ, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου τοῦ μὴ θέλοντος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ἐν θελήσει εἰς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Οὐκ ἠθέλησε προσπεσεῖν καὶ κλαῦσαι ἐναντίον Κυρίου τοῦ ποιήσαντος αὐτὸν καὶ κατακαίοντος. Ἔδει γάρ, ὡς ἀληθῶς, ἔδει συνιέναι καὶ εἰπεῖν· ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω, τοῦ ἐν οὐρανοῖς καθημένου καὶ τὴν γῆν ὑποπόδιον ἔχοντος; τὸν οὐρανὸν γὰρ καὶ τὴν γῆν αὐτὸς πληροῖς, Κύριε· κἂν γὰρ ἐν θαλάσσῃ πορευθῶ κἀκεῖ ἡ χείρ σου εὑρίσκει πάντας τοὺς μισοῦντάς σε καὶ τίθησιν αὐτοὺς εἰς κλίβανον πυρός. Ἐν ὀργῇ σου συνταράξεις αὐτοὺς καὶ καταφάγεται αὐτοὺς πῦρ. Ταῦτα οὐκ ἐνενόησεν οὐδὲ συνῆκε τοῦ ἀγαθῦναι· ἀλλὰ τέλεον πωρωθεὶς οὐκ ἀπεστράφη, ἕως ἐπλήγη καὶ τέθνηκε. Πρόσχωμεν τοίνυν, ἀδελφοί, καὶ μὴ ἀφρόνως πολιτευώμεθα, ἀλλ' εἰδότες ὅτι ἔστι Θεὸς ὁ ἐφορῶν καὶ διακρίνων τὰ πάντα· μὴ γινώμεθα ἄφρονες ἀλλὰ συνιῶμεν τί τὸ θέλημα τοῦ Κυρίου. Μὴ μεθύσκεσθε γάρ, φησιν, οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, εἰδότες ὅτι ἥξει ὁ Κύριος· ἥξει γὰρ ἐπὶ τῶν νεφελῶν· ἥξει καὶ οὐ χρονιεῖ· ἐλεύσεται κρίνων πᾶσαν τὴν οἰκουμένην· κρινεῖ γὰρ πόρνους καὶ μοιχούς, καθώς φησιν ὁ ἀπόστολος. ἐλεύσεται τοίνυν ἐπὶ τοὺς μοιχοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας καὶ ἐπὶ τοὺς ὀμνύοντας ἐπὶ ψεύδει· ἐπὶ ροὺς μεθύοντας καὶ κατασπαταλῶντας καὶ τύπτοντας τοὺς συνδούλους καὶ διχοτομήσει αὐτούς, καὶ τὸ μέρος αὐτῶν μετὰ τῶν ὑποκριτῶν θήσει, ἤτοι μετὰ τῶν ἀπίστων· ὥσπερ γὰρ ἐκεῖνοι ὑποκρίνονται μὲν Θεὸν πιστεύειν, κατὰ ἀλήθειαν δὲ ἀρνοῦνται, ὅτι τὸ μυστήριον καὶ τὴν οἰκονομίαν τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως ἀμφιβάλλουσιν ἐξαρνούμενοι, καὶ Θεὸν λέγοντες πιστεύειν, ἀεὶ διαψεύδονται, οὕτω καὶ οὗτοι χριστιανοὶ μὲν ὀνομάζονται

---

107 *συνίσετε* 124 *πορεύσομαι*

καὶ μόρφωσιν ἤτοι προσωπεῖον μὲν ἔχουσιν εὐσεβείας, τὸ εὐαγγελικῶς πολιτεύεσθαι, καὶ οὐ τελείως ὡς τέλειοι πωλοῦσι τὰ ὑπάρχοντα τοῦ δοῦναι πτωχοῖς. Καὶ ὡς ὁ ἀτελὴς νόμος ὁ νηπιώδης προσέταξε μὴ μοιχεύειν, μὴ φονεύειν, ἀλλ' ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτόν· ἐὰν γὰρ μὴ περισσεύσῃ, φησίν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, (βαβαὶ τῆς ἀποφάσεως!) οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι οὔτε ἐμοίχευον, οὔτε ἐλῄστευον, ⟨οὔτε⟩ ἀσώτως ἐβίουν· τοῦτο γὰρ ἦν αὐτοῖς τὸ καύχημα, ὅτι σεμνῶς ἐπολιτεύοντο. Ἡμεῖς δὲ τὸ βάπτισμα μολύνομεν· καὶ οὐ μόνον ὅτι οὐ περισσεύσει ἡ δικαιοσύνη ἡμῶν πλέον τῆς ἐκείνων δικαιοσύνης, ἀλλ' εὑρισκόμεθα καὶ τούτων ἐσχατώτεροι· πῶς ⟨οὖν⟩ βασιλείαν Θεοῦ κληρονομήσομεν; Ἐὰν γὰρ αἱ ἀνομίαι ἡμῶν ὑπὲρ τῶν ἐθνῶν εἰσιν ὑπερηρμέναι, πῶς οὐκ ἐν ὑποκρίσει καὶ ὀνόματι μόνῳ ψιλῷ τὴν κλῆσιν ἐν ἑαυτοῖς περιφέρομεν; Διὸ μὴ γινώμεθα ἄφρονες, ἀλλὰ συνιῶμεν τί τὸ θέλημα τοῦ Κυρίου, μήποτε διχοτομηθῶμεν καὶ μετὰ τῶν ὑποκριτῶν τεθῶμεν· ἀλλὰ πληρωθῶμεν ἐν πνεύματι. Πληρωθησόμεθα δὲ ἐν πνεύματι, ἂν μὴ σαρκικοὶ ὦμεν· ὅσον γὰρ καθαρεύομεν, τοσοῦτον ἐν ἡμῖν αὐτὸ κατάγεται· ἡ γὰρ χάρις τοὺς ἀξίους ἑαυτῆς αὐτὴ περιέρχεται ζητοῦσα. Εἰ οὖν καθαρεύομεν, πάντως ζητήσει ἡμᾶς καὶ ἐνοικήσει ἐν ἡμῖν καὶ πλησθησόμεθα πνεύματος καὶ πνευματικῶς βιώσαντες ἐν πάσῃ ζωῇ ἀναφαίρετον ἕξομεν τὴν χάριν, ὡς οὐκ ἐν ὑποκρίσει ὄντες Χριστιανοί, οὐδὲ μόρφωσιν καὶ προσωπεῖον τὴν χριστώνυμον κλῆσιν ἐν ἑαυτοῖς περιφέροντες, ἀλλὰ τελείως ὡς τέκνα ὑπακοῆς ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ τὴν φερομένην ἡμῖν χάριν πλουτοῦντες γινώμεθα κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Διὸ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· δύο γάρ εἰσιν αἰτίαι δι' ὧν μέθαι δύο προσγίνονται, ἡ μὲν ἐξ οἴνου, ἡ δὲ ἐκ τοῦ πνεύματος· ἀλλ' ἡ μὲν ἐξ οἴνου, ἐμπαθής τε καὶ ἄσεμνος, ἡ δὲ ἐκ πνεύματος, σεμνὴ καὶ οὐρανία. Καὶ ἡ μὲν σαρκὸς ἡδονὴν διεγείρει· ἡ δὲ χάριν πνεύματος ἀνανεοῖ τε καὶ ἀναθάλλει. Μεθύσθητε γάρ, φησι, μέθην οὐράνιον. Ἡ μέθη αὕτη ἀρραβών ἐστι τῆς μελλούσης ζωῆς. Ταύτην τὴν μέθην μεθυσθέντες οἱ προφῆται ᾠδίνησαν καὶ πνεῦμα σωτηρίας ἐπὶ γῆς ἀπεκύησαν. Ὁ μὲν Ἀββακοὺμ ἀκηκοὼς ἦν ἀκοὴν καὶ ἐξίστατο· ὁ δέ γε Ἱερεμίας ἐθρήνει τὴν Ἱερουσαλήμ, ὡς ἐξιστάμενος ἑαυτοῦ. Ἡσαΐας ποτὲ μὲν ἐκ νυκτὸς ὀρθρίζων ἀνύμνει τὸν Θεόν, ποτὲ δὲ ἐπὶ θρόνου δόξης τοῦτον ἑώρα καθεζόμενον καὶ τοῖς Σεραφὶμ τοῦτον περικυκλούμενον καὶ ὑπ' αὐτῶν ἀνυμνούμενον. Ταύτην τὴν μέθην μεθυσθέντες οἱ ἀπόστολοι ἐν τῷ

144 καὶ μὴ τελείως ὡς τέλειος πωλεῖ 147 πλεῖον 160 ἐσμέν· καταγίνεται· 177 ὀρθίζον καὶ ἀνύμνει τῷ Θεῷ

ὑπερῴῳ, τοῖς ἄφροσιν ἀπὸ οἴνου μεθύειν ἐνομίζοντο. Ταύτην τὴν μέθην μεθυσθέντες οἱ ἅγιοι μάρτυρες, τὰ σώματα ἑαυτῶν παρέδωκαν τοῖς βασανισταῖς καὶ ὥσπερ ἄλλοι πάσχοντες, οὕτω διεκαρτέρησαν· ἐμίσησαν γὰρ τὴν σάρκα ὡς τῇ ψυχῇ ἀντιβαίνουσαν, ὅτι ᾔδεσαν ὅσον ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνανεοῦται. Ταύτην τὴν μέθην μεθυσθέντες οἱ ὅσιοι, κατέλιπον οἰκίας καὶ πλοῦτον καὶ περιφάνειαν καὶ τὰς ἐρήμους κατέλαβον, οἶκον καὶ πόλιν ⟨τὴν⟩ ἔρημον ἔχοντες καὶ θησαυρὸν κεκτημένοι ἐν οὐρανοῖς, ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν. Ὧν ὁσίων πάντων κορυφαῖος τυγχάνει ὁ μέγας Ἀντώνιος, ὁ νῦν παρ' ἡμῶν εὐφημούμενος καὶ ἐν οὐρανοῖς θαυμαζόμενος καὶ ἐν πάσῃ τῇ γῇ δοξαζόμενος, τοῖς δὲ δαίμοσι φοβερὸς γνωριζόμενος· τοσοῦτον γὰρ ἠγωνίσατο, ὡς ὑπεραρθῆναι ἁπάντων καὶ αὐτοῖς ἀγγέλοις θαυμαστωθῆναι. Τί οὖν οὐ θαυμάσομεν τῶν ἐκείνου; τοὺς ὑπὲρ ἄνθρωπον κόπους καὶ πόνους ἢ τὰ παράδοξα τῶν θαυμάτων; Καταπνίγει μου τὸν λογισμὸν ἡ πυκνότης τῶν διηγημάτων, οὐκ ἔχοντος ὅποι χαρίσομαι τὴν ῥοπὴν, καὶ συμβαίνει μοι ἀπορεῖν.

Ἀλλ', ὦ πατέρων ἀκρότης, ὦ φωστὴρ τῆς οἰκουμένης, ὦ χρυσαυγέστατε λύχνε, ὦ τῆς ἐρήμου ὁ κοσμήτωρ, ὦ ἀκένωτε θησαυρέ, τίσιν ἐπαίνοις χρήσομαι εὐφημεῖν σε; πῶς ἐξείπω τὰ κατὰ σέ; οὐ δύναμαι λαλεῖν οὐδὲ γράφειν τὰς ὑπὸ σοῦ ἀριστείας καὶ ἀνδραγαθίας καὶ τὰ παλαίσματα τῶν καρτεριῶν καὶ τοὺς ὑπὲρ ἄνθρωπον ἀγῶνας, δι' ὧν νικήσας τοὺς ἀσάρκους ἐχθρούς, ὡς νικητὴς ἐστεφάνωσαι παρὰ τοῦ δικαίου κριτοῦ, καὶ ἐν οὐρανῷ καὶ ἐν γῇ τεθαυμάστωσαι ὑπὲρ ἅπαντας τοὺς πρὸ σοῦ καὶ ⟨τοὺς⟩ μετὰ σοῦ καὶ τοὺς μετὰ σέ. Ἀλλὰ ταῦτα ἐάσω λαλεῖν καὶ ἐκθειάζειν τρανῶς τῷ μεγάλῳ κήρυκι καὶ τῆς ἐκκλησίας φωστῆρι μεγάλῳ πατρὶ ἡμῶν Ἀθανασίῳ· τοιοῦτον γὰρ δεῖ εἶναι τὸν σὸν ἐπαινέτην· ἡμῖν δὲ οὐκ ἐστι πρεπωδέστερον· οὐδὲ γὰρ τολμήσομεν ἡμεῖς ἅπερ ἐκεῖνος συνεγράψατο καὶ διετράνωσε πανσόφως καὶ συνετῶς γράφειν πάλιν τὰ αὐτά, ἀνευφημοῦντες δέ σε μακαρίσωμεν τὸν ὑπὸ Χριστοῦ τοῦ Σωτῆρος μεμακαρισμένον λέγοντες.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ τίς ὡς σὺ πτωχὸς τῷ πνεύματι ἀνεφάνη; ὅτι οὐ μόνον τὸν κόσμον κατέλιπες καὶ πάντα τὰ τοῦ βίου τερπνά, ἀλλὰ καὶ τὸν ἐν τῇ ἐρήμῳ φανέντα σοι δίσκον τῇ ῥάβδῳ τῆς σῆς ἀνδρείας ὡς καπνὸν διαλυθῆναι πεποίηκας, καὶ τὸν χρυσὸν τὸν φανέντα σοι πάλιν διῆλθες ἀβλαβῶς μὴ θελχθεὶς ὑπ' αὐτοῦ.

Μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοὶ παρακληθήσονται. Καὶ τίς ὡς σὺ πενθῶν καὶ σκυθρωπάζων διῆλθεν, ἕως εὗρες τόπον

---

193 Τί οὖν θαυμάσομεν ὧν τῶν ἐκείνου; 196 ἔχων ἀπορεῖν μοι 204 τοὺς πρὸ σε καὶ μετὰ σοῦ καὶ τοῖς μετὰ σέ 215 διαλύσει

τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ· ἕως τὴν σὴν ψυχὴν οἶκον ἀπετέλεσας τοῦ ἁγίου Πνεύματος, μονὴν ἐν σοὶ ποιησάμενος τοῦ Χριστοῦ μετὰ τοῦ Πατρός, ἕως οὗ εἰς ἄνδρα τέλειον ἔφθασας, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ὥστε δύνασθαι λέγειν· ἐγὼ οὐκέτι φοβοῦμαι τὸν Θεόν, ἀλλ' ἀγαπῶ αὐτόν· οὐ γὰρ ἔξῃς ἑαυτῷ τὴν διὰ σαρκὸς καὶ αἵματος ζωήν, ἀλλ' ἔξῃ μᾶλλον ἐν σοὶ ὁ Χριστός, ὁ ζῶν καὶ λαλῶν ἐν σοὶ καὶ τὰ παράδοξα διὰ σοῦ ἐργαζόμενος.

Μακάριοι οἱ πραεῖς ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Καὶ τίς πραότερος σοῦ ἀνεφάνη; ὑπερῆρας γὰρ πάντας, ὅτε οἱ Ἕλληνες τὴν ἐρώτησιν προσποιούμενοι εἰς τὸ διεγείρειν σε πρὸς ἀντιλογίαν ἐνέφηναν, ὅτι οὐ τῆς αὐτῶν ἀσόφου σοφίας μετεῖχες, αὐτὸς ⟨δ'⟩ ὡς ἀγχίνους καὶ τοῦ πράου Ἰησοῦ μαθητής, πράως καὶ ἐπιεικῶς πρὸς αὐτοὺς ἀπεφθέγξω εἰπών: ὁ νοῦς ἐστι γέννημα τῶν γραμμάτων ἢ τὰ γράμματα τοῦ νοός; Τῶν δὲ ἀποφηναμένων, ὅτι τὰ γράμματα τοῦ νοός, αὐτὸς ἠπίως καὶ προσηνῶς ἐν ταπεινῇ κρίσει ἔφης, ὥστε ὅταν ὁ νοῦς ὑγιαίνῃ, οὐκ ἀναγκαῖα τὰ γράμματα.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην ὅτι αὐτοὶ χορτασθήσονται. Ἀλλὰ καὶ ἐν τούτῳ ὑπερῆρας πάντας, ὅτι τῷ Θεῷ ὁλοτρόπως ἀνακείμενος καὶ αὐτῷ μόνῳ ζῶν οὐκ ἤθελες δωρεὰν τρέφεσθαι, ὡς δίκαιον ἦν. Εἰ γὰρ σὺ τὰ *πνευματικὰ* ἔσπειρες ἐν τοῖς πιστοῖς, τί μέγα ἦν εἰ τὰ σαρκικὰ ἐξ αὐτῶν ἐθέριζες; ἀλλ' οὐδ' εἰς τοῦτο κατεγίνου, ἀλλ' ὑπὲρ τὸ δίκαιον ἐποίεις· εἰργάζου γὰρ ταῖς ἰδίαις χερσί, πλέκων σειρὰς καὶ καλλιεργῶν γῆν καὶ ἐκτρέφων σεαυτὸν καὶ ἑτέρους ἐκ τῶν οἰκείων κόπων, ἵνα κερδίσῃς καὶ τό· *Μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται.*

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Καὶ τίς ὡς σὺ ἀνεφάνη καθαρὸς τῇ καρδίᾳ, ὥστε καὶ ἔτι ἐν σώματι ὢν τὰς ἀνόδους τῶν ψυχῶν καθορᾶν;

Μακάριοι οἱ εἰρηνοποιοὶ ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Ἀλλὰ καὶ ὑπὲρ τοῦτο ἐγένου· ὅτι καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην, εἰρηνικὸς ὑπῆρχες.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ ὑπὲρ τοῦτο ἐγένου· ὅτι οἱ μὲν διωκόμενοι, κἂν καὶ διὰ Χριστὸν διώκωνται, ἀλλὰ ἀκουσίως διώκονται· σὺ δὲ ἐκ τοῦ κόσμου σαυτὸν ἐξεδίωξας, ἐμάκρυνας δὲ φυγαδεύων, καὶ ηὐλίσθης ἐν τῇ ἐρήμῳ, προσδεχόμενος τὸν σῴζοντά σε Θεόν· καὶ ὕπνον τοῖς ὀφθαλμοῖς οὐκ ἔδωκας, οὔτε τοῖς βλεφάροις νυσταγμόν, ἕως οὗ εὗρες τόπον τῷ Κυρίῳ καὶ εἰς μέτρον ἡλικίας

---

224 ἀλλ' ἔξῃ δὲ μᾶλλον 227 ὅσαν οἱ Ἕλληνες 228 διεγείρειν σοι 229 ὅτι μὴ τῆς 232 ἀποφηνάντων 256 ἕως εἰς μέτρον

ἔφθασας, τὸ νηπιῶδες ἀποτιναξάμενος φρόνημα, λαβὼν τὸ βραβεῖον τῆς ἄνω κλήσεως καὶ μέγας κληθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν ῥῆμα πονηρὸν καθ' ὑμῶν· ψευδόμενοι ἕνεκεν ἐμοῦ. Ὑπέρτερος καὶ τούτου τοῦ μακαρισμοῦ ἐχρημάτισας· ὅτι εἰ ὠνείδισάν τινες τοὺς δικαίους, πλανηθέντες ὠνείδισαν, ὡς μὴ βλέποντες τὰ κρυπτὰ αὐτῶν ἔργα, καὶ διὰ τοῦτο ὠνείδισαν αὐτοὺς ὡς κακοποιοὺς ἢ καὶ διὰ φθόνον πολλάκις. Σοῦ δὲ δίκην ἡλίου λάμψαντος τῇ λαμπροτάτῃ σου πολιτείᾳ καὶ πάντας ὑπεραυγάσαντος ὡς πυρσὸς μέγας ἐν ὑψηλῷ τόπῳ ἢ ὡς πόλις μεγάλη ἐπάνω ὄρους κειμένη καὶ πᾶσι φαινομένη, ἢ ὡς οὐρανός τις δόξαν Θεοῦ διηγούμενος, καὶ εὐαγγελιζόμενος ἡμέραν ἐξ ἡμέρας τοῦ Θεοῦ τὸ σωτήριον, καὶ πάντας ἀκοντίσαντος καὶ πρὸς μίμησιν καὶ ζῆλον ἔνθεον διεγείραντος, οὐκ ἦν ἐν σοὶ οὔτε ὀνειδισμός, οὔτε διωγμοῦ χώρα, ἀλλὰ ζήλου θεϊκοῦ καὶ αἰῶνος οὐρανίου.

Χαίρετε καὶ ἀγαλλιᾶσθε ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Ὄντως πολὺς ὁ μισθός σοι ἐν τοῖς οὐρανοῖς· παρὰ πάντας ἁγίους κατώρθωσας! καυχῶ τοίνυν ἐν Κυρίῳ, ὡς ⟨ὁ⟩ Παῦλος λέγων, ὅτι περισσότερον αὐτῶν πάντων ἐκοπίασα, σύνδρομον ἔχων τὴν χάριν τοῦ Θεοῦ· τὴν δοθεῖσάν μοι. Ὁ ποιήσας καὶ διδάξας, φησίν, οὗτος μέγας κληθήσεται. Διὸ σὺ ποιήσας καὶ διδάξας πολλά, πλεῖστα μὲν τῇ σῇ γλώσσῃ, πλεῖστα δὲ πάλιν τῇ ἀκραιφνεῖ πολιτείᾳ, δικαίως καὶ ὁ μισθὸς πολὺς ἐν τοῖς οὐρανοῖς ἀποτεθησαύρισται, καὶ μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀνεφάνης, ἧς καὶ ἡμᾶς τυχεῖν ταῖς σαῖς εὐχαῖς παρασκεύασον τὸν ἐλεήμονα καὶ φιλάνθρωπον Θεόν, ἵλεων ἡμῖν αὐτὸν ἀπεργαζόμενος. Πρόσδεξαι δὲ καὶ τὸ παρ' ἡμῶν προσφερόμενον τουτὶ δῶρον τὸ κατὰ δύναμιν, εἰς αἰωνίου ζωῆς ἀντίδοσιν, εἰς ἡμέραν ἀπολυτρώσεως, εἰς δόξαν καὶ αἶνον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν![1])

277 τῆς ἀκραιφνοῦς σου πολιτείας, δικαίως καὶ ὁ μισθός σου πολὺς ἐν τοῖς οὐρανοῖς 279 ἀνεφανήσει, ἐν ᾗ

1) Für die Leser, die meine oft ausgesprochenen und in der Praxis betätigten textkritischen Grundsätze kennen, brauche ich kaum zu bemerken, daß ich die von Herrn Zerlentes angewandte Methode, die zwei Texte nach der attischen Schablone durchzukorrigieren, z. B. zum Neutr. Plur. das Verbum in den Sing. zu setzen, den Artikel τοῦ vor dem Infinitiv (vgl. B. Z. XVI 340) zu streichen (S. 507, 26) usw., für verfehlt halte. Da aber das Heft zum Abschluß drängte, hatte ich nicht mehr die Zeit, auf dem Wege der Korrespondenz mich über diese prinzipielle Frage mit dem Herausgeber zu verständigen. Anm. der Redaktion.

Die byzantinischen Besitzungen an den Küsten des spanisch-westgotischen Reiches (554—624).[1])

A. Allgemeines über die Besitznahme und die Schicksale dieser Territorien.

